Biblioth. Colleg. ... Soc. Jesu
B 8436
Nº 1
23
0 / 28 / 27
Q 18
345

ΝΟΝΝΟΥ ΠΟΙΗΤΟΥ

Πανοπολίτου μεταβολὴ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου.

# NONNI POETAE

Panopolitani paraphrasis sancti secundum Ioannem Euangelij.

Bibliotheca Collegii Granaten. Soc. Jesu
R. 843

ΝΟΝΝΟΥ ΠΟΙΗΤΟΥ

Πανοπολίτου μεταβολὴ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου.

NONNI POETAE

Panopolitani paraphraſis ſancti ſecundum Ioannem Euangelij.

a

# ΝΟΝΝΟΥ ΠΟΙΗΤΟΥ

## Πανοπολίτου μεταβολὴ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου. Κεφ. α.

Ἄχρονος ἦν, ἀκίχητος, ἐν ἀρρήτῳ λόγος ἀρχῇ,
Ἰσοφυὴς γενετῆρος ὁμήλικος, υἱὸς ἀμήτωρ,
Καὶ λόγος αὐτοφύτοιο θεοῦ, φῶς, ἐκ φάεος φῶς.
Πατρὸς ἔην ἀμέριστος, ἀτέρμονι σύνθρονος ἕδρῃ·
Καὶ θεὸς ὑψιγένεθλος ἔην λόγος. οὗτος ἀπ' ἀρχῆς
Ἀενάῳ συνέλαμπε θεῷ τεχνήμονι κόσμου,
Πρεσβύτερος κόσμοιο· καὶ ἔπλετο πάντα δι' αὐτοῦ,
Ἄπνοα καὶ πνείοντα· καὶ ἐργοπόνου δίχα μύθου,
Οὐδὲν ἔφυ τό περ ἔστι. καὶ ἔμφυτος ἦεν ἐν αὐτῷ
Ζωὴ πᾶσι μέλουσα, καὶ ὠκυμόρων φάος ἀνδρῶν.
Ζωὴ παντρόφος ἦεν. ἐν ἀχλυόεντι δὲ κόσμῳ,
Οὐρανίαις σελάγιζε βολαῖς γαιήοχος αἴγλη,
Καὶ ζόφος οὔ μιν ἔμαρψε. μελισσοβότῳ δ' ἐνὶ λόχμῃ
Ἔσκε τις οὐρεσίφοιτος ἐρημάδος ἀστὸς ἐρίπνης,
Κῆρυξ ἀρχεγόνου βαπτίσματος· οὔνομα δ' αὐτῷ,
Θεῖος Ἰωάννης, λαοσσόος. οὗτος ἐπέστη
Ἄγγελος ἐμπεδόμυθος, ὅπως περὶ φωτὸς ἐνίψῃ
Μαρτυρίην, ἵνα πάντες ἑνὸς κήρυκος ἰωῇ
Ὀρθὴν πίστιν ἔχοιεν, ἀτέρμονα, μητέρα κόσμου.
Οὐ μὲν κεῖνος ἔην νοερὸν φάος, ἀλλ' ἵνα μοῦνον
Πᾶσιν ἀναπτύξειε θεηγόρον αἰθερεῶνα,

Καὶ φάεος



# NONNI POETAE

## Panopolitani paraphrasis sancti secundum Ioannem Euangelij. Cap. I.

Sine tempore erat, incomprehensibile, in ineffabili Verbum principio,
AEquè existens patri coæuo, filius sine matre:
Et verbum per se existentis Dei, lumen, ex lumine lumen:
A patre erat indiuisum, æterna vna sedens in sede:
Et Deus altigenitus erat Verbum. Hoc ab initio
AEterno simul splendebat cum Deo opifice mundi,
Antiquius mundo: & erant omnia per ipsum
Non spirantia & spirantia. & laborioso sine Verbo
Nihil natum est quod quidẽ erat: & insita erat in ipso
Vita omnibus chara, & citò morientiũ lumẽ viror
Vita omnium altrix erat: in caliginoso verò mundo.
Cœlestibus splendebat radiis terram illustrãs fulgor,
Et caligo non eum apprendit. In sylua autem ab apibus depasta
Erat quidam montiuagus desertæ ciuis petræ,
Præco primigeni baptismi: nomen verò ipsi,
Diuinus Ioannes, populum seruans. hic surrexit
Nuntius firmiloquus, vt de lumine eloqueretur
Testimonium, vt omnes vnius præconis voce
Rectam fidem haberent, infinitam, matrem mundi.
Non tamen ille erat intelligens lumen, sed vt solùm
Omnibus aperiret diuiniloquum mentum [.i. os]

A. ii.

Καὶ φάεος προκέλευθος ἀκηρύκτοιο φανείη,
Ξυνὴν μαρτυρίην ἐνέπων θεοδέγμονι λαῷ.
Καὶ γὰρ ἑοῦ μετὰ πατρὸς ἐτήτυμον ἀρχέγονον φῶς
Μουνογενὴς λόγος ἦεν, ὃς ἀνέρα πάντα καθαίρει,
Πνευματικαῖς ἀκτῖσι καταυγάζων φύσιν ἀνδρῶν
Ἐρχομένων ἐπὶ γαῖαν. ἔην δ' ἐν ἀπειθέι κόσμῳ
Ἀπροϊδής, καὶ κόσμος ἀπείριτος ἔσκε δι' αὐτοῦ.
Καὶ λόγον οὐ γίνωσκεν ἐπήλυδα κόσμος ἀλήτης.
Ἐγγὺς ἔην ἰδίων, ἴδιοι δέ μιν ἄφρονι λύσσῃ
Ὡς ξένον, οὐκ ἐγέραιρον. ὅσοι δέ μιν ἔμφρονι θυμῷ
Ἀπλανέες δέξαντο, καὶ οὐ νόον εἶχον ἀλήτην,
Οὐρανίην πάντεσσι μίαν δωρήσατο τιμήν,
Τέκνα θεοῦ γενετῆρος ἀειζώοντος ἀκούειν,
Οὓς φύσις οὐκ ὤδινε λεχωΐας, οὐ βίος ἔγνω
Ἀνδρομέου βλάστημα θελήματος, οὐδὲ καὶ αὐτὴ
Σαρκὸς ἔρωτι τόκοιο γαμήλιος ἤροσεν εὐνή,
Ἀλλὰ θεοῦ γεγάασιν ἀνήροτα τέκνα τοκῆος.
Καὶ λόγος αὐτοτέλεστος ἐσαρκώθη θεὸς ἀνήρ,
Ὀψίγονος, προγένεθλος, ἐν ἀρρήτῳ τινὶ δεσμῷ
Ξυνώσας ζαθέην βροτοειδέι σύζυγα μορφήν.
Καὶ θεὸς οἶκον ἔναιε σὺν ἀνδράσι, καὶ κλέος αὐτοῦ
Εἴδομεν ἀνδρομέοισιν ἐν ὄμμασιν, οἷά τε τιμὴν
Υἱοῦ μουνογόνοιο παρ' ὑψίστοιο τοκῆος·
Καὶ χάριτος πέπληθε, καὶ ἀτρεκίης γενετῆρος.
Ἀμφὶ δὲ σαρκοφόροιο λόγου προτάγγελος ἀνὴρ
Ἁγνὸς Ἰωάννης πιστώσατο μάρτυρα φωνήν·
Οὗτος ἔην ὃν ἔειπον ἀμωμήτῳ ἐνὶ μύθῳ,
Πρῶτος ἐμεῖο βέβηκεν, ὀπίστερος ὅστις ἱκάνει
Ὅττι μευ ἦν πρώτιστος, ὅτι ξύμπαντες ἀπ' αὐτοῦ
Ἠρύσαμεν ζαθέου πληρώματος ὄψιμον ἄλλην
Ἀντίθετον προτέρης χάριτος χάριν· ὅττι θεμίστων
Βίβλον ὅλων γενέτης διὰ Μωσέος ὤπασε λαῷ,

Καὶ



Et luminis præcurſor non prædicati appareret,
Cõmune teſtimoniũ dicens Deum recipienti populo,
Etenim ſuo cum patre verum primitiuum lumen
Vnigenitum Verbum erat, quod hominem omnem mundat,
Spiritualibus radiis illuſtrans naturam hominum
Venientium in terrã. Erat autẽ in incredulo mundo
Improuiſus, & mundus infinitus erat per ipſum,
Et Verbum non cognouit aduenam mundus errans.
Propè erat apud ſuos, ſui verò ipſum inſipiente rabie
Vt hoſpitem non honorabant: qui verò ipſum prudenti animo
Non errantes ſuſceperunt, & non mentẽ habebãt errantem,
Cœleſtem omnibus vnum donauit honorem,
Filii Dei patris ſemper viui vt dicerentur.
Quos natura nõ peperit puerpera, non vita cognouit
Humanæ germen voluntatis: neque ipſum
Carnis amore geniti nuptiale arauit cubile,
Sed Dei nati ſunt non arati filii patris.
Et Verbum per ſe exiſtẽs caro factũ eſt, Deus homo,
Serò genitũ, priùs genitum, ineffabili quodã vinculo
Conſocians diuinam mortali comparem formam.
Et Deus domum incoluit cum hominibus: & gloriam eius
Vidimus humanis oculis, quaſi honorem
Filii vnigeniti ab altiſſimo patre.
Et gratia repletus eſt, & veritate patris.
De carnigero autem Verbo prænuntius vir
Caſtus Ioannes confirmauit teſtificantem vocem,
Hic eſt quem dixi irreprehenſibili ſermone,
Me anteceſſit, poſterior qui venit,
Quia me prior erat. nam omnes ab ipſo
Accepimus diuinæ plenitudinis ſeram aliam
Oppoſitam priori gratiæ gratiam: quia legis
Librum totius pater per Moſen præbuit populo,

Καὶ χάρις ἐκ Χριστοῖο, καὶ ἀτρεκίη πέλε κόσμῳ,
Καὶ θεὸν αὐτογένεθλον ἐν ἀντιπόροισιν ὀπωπαῖς
Οὔποτέ τις σκοπίαζεν· ἑῷ διεπέφραδε μύθῳ
Κεῖνος ὁ θεσπεσίῳ μεμελημένος ἠθάδι κόλπῳ
Μουνογενής, ὁμόφοιτος ἀμωμήτοιο τοκῆος.
Μαρτυρίης δ' ὅδε μῦθος, ὃ κἀμβροσίῃ τινὶ
φωνῇ
Πιστὸς Ἰωάννης ἐτυμόθροος ἔννεπε κήρυξ,
Ἑβραίων ὅτε λαὸς ἐρημάδος εἰς ῥάχιν ὕλης
Λευΐτας προΐαλλε, καὶ ἀγρύπνους ἱερῆας,
Ἧχι φυγὰς μερόπων μετανάστης ᾤκεεν ἀνὴρ
Ἔνδιον αὐτόρριζον ὀρεσσαύλοιο μελάθρου.
Μυστιπόλοι δ' ἐρέεινον ὁμήλυδες ὀξέϊ μύθῳ,
Τίς σὺ πέλεις; μὴ Χριστὸς ἔφυς; καὶ ἀμοιβάδι φωνῇ
Εἶπε, καὶ οὐκ ἔκρυψε, καὶ οὐκ ἠρνήσατο κήρυξ.
Χριστὸς ἄναξ οὐκ εἰμί. καὶ Ἑβραίων χορὸς ἀνδρῶν
Πόμπιμος ἔνθεον ἄνδρα τὸ δεύτερον ἤρετο μύθῳ,
Εἰπὲ τίς οὖν σὺ πέλεις. Θεσβίτιδος ἀστὸς ἀρούρης
Ἠλίας ἐφάνης; καὶ ἀνίαχεν, Οὐ μετανάστης
Ὄψιμος Ἠλίας παλινόστιμος εἰς χθόνα βαίνω.
Καὶ θρασὺς ἑσμὸς ἔειπεν ἀνιπτοπόδων ἱερήων,
Μὴ σύ μοι ὃν καλέουσι, θεηγόρος ἐσσὶ προφήτης,
Ἄγγελος ἐσσομένων; καὶ ἀμείβετο δίζυγι μύθῳ,
Οὐ πέλω Ἠλίας, οὐ θέσκελός εἰμι προφήτης.
Καὶ πάλιν ἑσμὸς ἔειπε θεοκλήτων ἱερήων,
Τίς πελέθεις; ἵνα πᾶσιν ἀπαγγείλωμεν ἰόντες
Ἀνδράσι μυστιπόλοισιν ἀμοιβαίην σέο φωνήν,
Ἡμέας οἳ προέηκαν ἀελλήεντι πεδίλῳ
Δεῦρο μολεῖν. σὺ δὲ ποῖον ἔπος φιλοπευθέϊ λαῷ
Ἀμφὶ σέθεν λέξειας; ὁ δὲ, ζαθέης ἀπὸ βίβλου
Ἀνέρος ἀρχεγόνοιο, θεόσσυτον ἴαχε φωνήν,
Φωνὴ ἐγὼ βοόωντος ἐρημάδος ἔνδοθι πέτρης,
Οἶμον ὀφειλομένην ἰθύνατε παμβασιλῆος,
Καὶ οἱ ἑτοιμοτάτη πελέτω τρίβος, ὡς ἐνὶ βίβλῳ





Et gratia ex Chriſto, & veritas venit mundo.
Et Deum per ſe genitũ contrà gradientibus oculis
Nunquam aliquis vidit: ſuo enarrauit ſermone
Ille diuino obſeruatus conſueto in ſinu,
Vnigenitus, ſimul ambulãs cũ irreprehenſibili patre.
Teſtimonii verò hic eſt ſermo, quem immortali quadam voce
Fidelis Ioannes veriloquus dixit præco,
Hebræorũ quando populus deſertæ ad dorſum ſyluæ
Leuitas præmiſit, & vigiles ſacerdotes,
Vbi profugus hominum exul habitauit vir
Domiciliũ ſuis radicibus extructũ montanæ domus.
Sacrifici verò interrogarũt cõgregati celeri ſermone,
Quis tu es? num Chriſtus es? & reſponſiua voce
Dixit, & non occultauit, & non negauit præco,
Chriſtus rex non ſum. & Hebræorum cœtus virorum
Miſſus, diuinum virum iterum interrogauit verbo,
Dic quis igitur tu es. Theſbiticæ ciuis terræ
Elias apparuiſti? & reſpondit, Non peregrinus
Serus Elias reuerſus in terram venio.
Et audax cœtus dixit illotos pedes habentiũ ſacerdotum,
Num tu mihi quẽ vocãt diuiniloquus es propheta,
Nuncius futurorum? & reſpondit duplici ſermone,
Non ſum Elias, non diuinus ſum propheta.
Et rurſus turba dixit diuinitus vocatorũ ſacerdotum,
Quis es, vt omnibus annunciemus euntes
Viris ſacrificis reſponſiuam tuam vocem,
Nos qui præmiſerunt veloci pede
Huc venire, tu verò quale verbum ſciſcitanti populo
De te dixeris? ille verò diuino ex libro
Viri priſci à Deo impulſam ſonuit vocem,
Vox ego clamantis deſerta in petra,
Viam debitam dirigite omnium regis,
Et ei paratiſſima ſit ſemita: ſicut libro

Ἡσαΐας πολύϊδρις ἐνέγραφε θέσπιδι βίβλῳ.
Καὶ χορὸς ἄλλος ἄπιστος ἁμαρτινόων Φαρι-
σαίων
Πέμπετο, καὶ σοφὸν ἄνδρα θεηγόρον ἤρετο
μύθῳ,
Καὶ σὺ τί βαπτίζεις; πόθεν ὕδατι φῶτα καθαίρεις;
Εἰ μὴ Χριστὸς ἔφυς ὑψίζυγος, οὐδὲ σὺ δίφρου
Ἅρπαγος Ἠλίας ἐλατὴρ πυρὸς, οὐδὲ προφήτης
Πνεύματι παφλάζων, θεοδινέος ἔγκυος ὀμφῆς;
Καί σφισι πευθομένοις ἔπος ἴαχε θέσκελος ἀνὴρ,
Ὑμέας αὐτὸς ἱκάνον ἐγὼ καθαροῖο λοετροῦ
Ὕδατι βαπτίζων· καὶ ὀπίστερος ὅστις ἱκάνει,
Σήμερον ὑμείων μέσος ἵσταται, οὗ ποδὸς ἄκρου,
Ἀνδρομέῃ παλάμῃ οὐκ ἄξιός εἰμι πελάσας,
Λῦσαι μοῦνον ἱμάντα θεοπνεύστοιο πεδίλου.
Βηθανίης πέλε ταῦτα θεουδέος ἐγγὺς ἀρούρης,
Χεύματος ἀντιπέρηθεν Ἰορδανίου ποταμοῖο.
Ἀλλ' ὅτε δὴ δρόμον ἄλλον ἑκηβόλος ἤγαγεν
ἠὼς,
Ἁγνὸς Ἰωάννης ἀντώπιον ὄμμα τιταίνων,
Ἰησοῦν ἐνόησε· καὶ ἀγχικέλευθον ἰόντα,
Δάκτυλον ὀρθώσας, ἐπεδείκνυε μάρτυρι λαῷ,
Ἠνίδε παγγενέταο θεοῦ σχεδὸν ἀμνὸς ἐχέφρων.
Οὗτος ἔην ὃν ἔειπον, Ὀπίστερος ἔρχεται ἀνὴρ,
Ὅς μευ ἔφυ προπάροιθεν. ἐγὼ δέ μιν οὐ πάρος ἔγνων
Ὄμμασιν, ἀλλ' ἵνα πᾶσιν ἔχων ἄγνωστον ὀπωπὴν
Ἰσραὴλ τεκέεσσιν ἀσημάντοισι φανείη,
Ἦλθον ἐγὼ προκέλευθος ἀκηρύκτοιο πορείης,
Βαπτίζων ἀδίδακτον, ἀπειθέα λαὸν, ἀλήτην.
Καὶ πετάσας στόμα θεῖον, ὅλῳ φιλοπευθέϊ λαῷ
Μαρτυρίην ἀγόρευεν ἐϋ πανθελγέϊ φωνῇ,
Ὅττι παρ' αἰθερίων καταβαινόμενον ἔδρακε κόλπων
Πνεῦμα θεοῦ, πτερύγων πεφορημένον ἔμφρονι παλμῷ,
Ἀντίτυπον μίμημα πελειάδος, ἄχρις ἐπ' αὐτὸν
Ἦλθε



Esaias multiſcius ſcripſit in diuino.
Et cœtus alius incredulus mente errantium Phari-
ſæorum
Mittebatur, & ſapientem virum theologum rogabat
verbo, (cas?
Et tu cur baptizas? vnde aqua hominem mundifi-
Si non Chriſtus es altiiugus, neque tu currus
Rapidi Elias auriga ignis, neque propheta
Spiritu feruens, diuina repletus voce?
Et ipſis interrogantibus verbum ſonuit diuinus vir,
Ad vos ipſe veni ego puri lauacri
Aqua baptizans: ſed poſterior qui venit,
Hodie inter vos medius ſtat, cuius ad ſummum pedē
Humanam manum non dignus ſum admouens
Soluere tantùm corrigias diuinitus inſpirati calcei,
Bethabaræ fiebant hæc diuinam prope terram,
Fluxus ex aduerſo Iordani fluminis.
Sed quum ſanè curſum alium procul iaculans addu-
xiſſet aurora,
Caſtus Ioannes oppoſitum oculum tendens,
Ieſum animaduertit, & vicinum vadentem,
Digitum dirigens, monſtrauit teſtificanti populo,
Ecce omnium genitoris Dei propè agnus prudens.
Hic eſt de quo dixi, Poſterior venit vir
Qui ante me erat. ego verò ipſum non antea cognoui
Oculis: ſed vt omnibus habens incognitam faciem
Iſrael filiis non deſignatis manifeſtaretur,
Veni ego præcurſor non prædicatæ viæ,
Baptizans indoctum, incredulum populum, errantē.
Et aperiens os diuinum, toti ſciſcitanti populo
Teſtimonium dixit ſua omnes demulcente voce.
Quòd ſcilicet à cœleſtibus deſcendentē vidit finibus
Spiritum Dei, alarum delatum prudenti vibratione,
Ad expreſſam imitationē liuiæ, donec ſuper ipſum
Venit,

Ἦλθε, καὶ αὐτόθι μίμνεν. ἐγὼ δέ μιν οὐ πάρος
ἔγνων,
Ἀλλά μοι αὐτὸς ἔειπεν ἑῇ σημάντορι φωνῇ,
Ὅστις ἐμὲ προέηκε παλιγγενέων δέμας ἀνδρῶν
Βαπτίζειν, ἀπύροισι καὶ ἀπνεύστοισι λοετροῖς,
Εἰς ὃν ἂν ἀθρήσειας ὑπηνέμιον καταβαῖνον
Πνεῦμα θεοῦ νοεροῖο, καὶ αὐτόθι ἔμπεδα μίμνει,
Οὗτος ἀφωτίστοισι φάος μερόπεσσιν ὀπάσσει,
Ἐν πυρὶ βαπτίζων καὶ πνεύματι. καί μιν ὀπωπῇ
Εἶδον ἐγὼ, καὶ ἔειπον ἀληθέα μάρτυρα φωνὴν,
Ὅτι θεοῦ γόνος οὗτος, ἀειζώοιο τοκῆος.
Ἀλλ᾽ ὅτε δὴ φάος ἄλλο παλίνδρομος ἤγαγεν ἠὼς,
Θεῖος ἀνὴρ ἕστηκε, δύο δέ οἱ ἄγχι μαθηταὶ
Χριστοῦ θεσπεσίης ἀδαήμονες εἰσέτι μορφῆς·
Χριστὸν ἰδὼν στείχοντα βατὴν χθόνα πεζὸν ὁδί-
την,
Ἅρματος ὑψιπόροιο μετάρσιον ἡνιοχῆα,
Ἁγνὸς Ἰωάννης, πάλιν ἴαχεν ἠθάδι φωνῇ,
Οὗτος ἐπουρανίοιο θεοῦ λάλος ἀμνὸς ὁδεύει.
Καὶ ζαθέην ἀΐοντες ἀληθέος ἀνδρὸς ἰωὴν
Ἀπλανέες δύο φῶτες, ὀπίστεροι ἦλθον ὁδῖται
Χριστοῦ νισσομένοιο. καὶ αὐτοδίδακτον ὀπωπὴν
Ἐντρεπαλιζομένην διδύμους ἐπὶ φῶτας ἑλίξας,
Ἑσπομένων ἐρέεινε συνωρίδα δίζυγον ἀνδρῶν,
Δεῦρο τί μαστεύοντες ἱκάνετε; καὶ μίαν ἄμφω
Πευθομένου βασιλῆος ὁμόθροον ἴαχον αὐδὴν,
Ῥαββὶν (ὃ καλέουσι διδάσκαλε) πῆ ποτε ναίεις;
Καὶ μίαν ἀμφοτέροισιν ἄναξ ξυνώσατο φωνὴν,
Δεῦτε, καὶ ἀθρήσειτε. καὶ ἤλυθον ἄχρι μελάθρου,
Καὶ μάθον ὁππόθι ναῖεν. ὑπωρόφιοι δὲ μαθηταὶ
Ἦμαρ ἐκεῖνο τέλεσσαν ἔσω Χριστοῖο μελάθρου,
Ἀγχίθεοι. δεκάτη δὲ ποδηνέμος ἔτρεχεν ὥρη,
Καί τις ἔην ὃς ἵκανεν ἔσω θεοδέγμονος αὐλῆς,
Ἀνδρείας, μερόπων ἁλιεὺς μετὰ πόντιον ἄγρην,





Venit, & ibi mansit. ego autem ipsum non antea co-
gnoui,
Sed mihi ipse dixit sua significatiua voce,
Qui me præmisit, regeneratorum corpus hominum
Baptizare non ignitis & spiritu carentibus lauacris,
Super quem conspexeris leuem descendentem
Spiritum Dei intelligentis, & ibi firmiter manẽtem,
Hic non illuminatis lucem hominibus præbebit,
Igne baptizans & spiritu. & ipsum oculis
Vidi ego, & dixi veram testificantem vocem,
Quòd Dei filius hic [est] semper viuentis patris.
Sed quum sanè lucẽ aliã recurrens adduxisset aurora,
Diuinus vir stetit, duo autem iuxta eum discipuli
Christi diuinæ ignari adhuc formæ:
Christum videns incedentem super accessibilẽ ter-
ram pedestrem viatorem
Currus altigradi sublimem aurigam,
Castus Ioannes, rursus sonuit consueta voce,
Hic cœlestis Dei loquens agnus incedit.
Et diuinam audientes veracis viri vocem
Non errantes duo viri, posteriores venerunt viatores
Christo incedente. & per se doctum visum
Respectantem geminos ad viros voluens,
Sequentiũ interrogauit coniunctionẽ geminã virorũ,
Huc quid quærentes venitis? & vnam ambo
Sciscitante rege concordem sonuerunt vocem,
Rabbi (quod vocant præceptor) vbinam habitas?
Et vnam ambobus rex communicauit vocem,
Venite, & videte. Et venerunt vsque ad domum,
Et didicerunt vbi habitaret. domestici verò discipuli
Diem illum transegerunt intra Christi domum,
Deo vicini. decima autem velox cucurrit hora,
Et quidam erat qui venit in Deum recipientẽ aulam,
Andreas, hominum piscator post marinã capturam,

Ἰχθυβόλου Σίμωνος ἀδελφεός· εἷς δέ τις αὐτῶν,
Οὓς θεὸς ἐξείνισσεν· Ἰωάνναο δὲ φωνῆς
Ξυνῆς εἰσαΐοντι συνέμπορος ἦεν ἑταίρῳ,
Ἀγχιφανής. ἄμφω δὲ μιῇ πειθήμονι βουλῇ
Χριστῷ ἐφωμάρτησαν· ὁ μὲν, προφότισον ὁδεύων,
Σύγγονον εὐώδινος ἐρευνητῆρα θαλάσσης
Εὗρεν ἑὸν, Σίμωνα, καὶ ἔννεπεν ὀξέϊ μύθῳ,
Σύγγονε, Μεσσίαν σοφὸν εὕρομεν, ὅς θεὸς ἀνὴρ,
Χριστὸς Ἰουδαίοισιν ἀκούεται Ἑλλάδι φωνῇ.
Ὣς εἰπὼν, ἐκόμισσεν ὁμόγνιον ὀξὺν ὁδίτην
Ἰησοῦς ὅθι ναῖε. γαληναίῳ δὲ προσώπῳ
Χριστὸς ἰδὼν Σίμωνα, σοφῷ μειλίξατο μύθῳ,
Υἱὸς Ἰωάνναο σύ μοι πέλες· ἐσσὶ δὲ Σίμων,
Ἐργατίνης πόντοιο. σύ μοι κικλήσκεο Κηφᾶς.
Δεύτερον οὔνομα δέξο νεώτερον, ἀνέρες ἄλλοι
Πέτρον ὅπερ καλέουσιν. ἐπωνυμίην δὲ καλύψει
Πρεσβυτέρην Σίμωνος, ἀρειότερον οὔνομα Πέτρου,
Πίστιος ἀρραγέος σημήϊον. Ἀλλ' ὅτε γείτων
Ἀκροφανὴς δροσερῇσι βολαῖς πορφύρεεν ἠὼς,
Ἰησοῦς μετὰ νύκτα λιπόσκιον ἤθελε βαίνειν
Εἰς πόλιν εὐώδινα τανυπλοκάμων Γαλι-
λαίων.
Καὶ σχεδὸν εὗρε Φίλιππον. ἄναξ δέ μιν εἶπε ἕψεσθαι
Πιστὸν ἐὸν συνάεθλον, ὀπισθοκέλευθον ὁδίτην.
Ἕσπεο καὶ σὺ Φίλιππε. καὶ εἰσέτι θερμὸς ἀκούων
Οὔασι μῦθον ἔδεκτο, καὶ ἴχνεσιν ἔφθασε φωνήν.
Ξυνὴν δ' εἶχε Φίλιππος ἑὴν Βηθσαϊδὰ πά-
τρην,
Ἀνδρείας ὅθι ναῖεν, ὅπη θρασὺς ᾤκεε Σίμων.
Ναθαναὴλ δὲ Φίλιππος ἑῷ μειλίξατο μύθῳ,
Εὑρὼν εὐπετάλοιο κάτω δρυὸς, Ὃν σοφὸς ἀνὴρ
Μωσῆς ἀρχεγένεθλος ἐπέγραφε θέσπιδι βίβλῳ,
Εὕρομεν, ὃν σύμπαντες ὁμορρήτῳ τινὶ μύθῳ
Ἐσσομένων κήρυκες ἐπιστώσαντο προφῆται

Ἰησοῦν,



Piſcatoris Simonis frater: vnus autem ex illis
Quos Deus hoſpitio excepit. Ioannis autem vocem
Communem audienti comes erat ſocio,
Propè apparens. ambo autem vna credula voluntate
Chriſtum ſequebantur: ille quidem priùs incedens
Fratrem fertilis inueſtigatorem maris
Inuenit ſuum, Simonem, & dixit veloci ſermone,
Frater, Meſſiam ſapiẽtem inuenimus, qui Deus vir,
Chriſtus Iudæis dicitur Græca voce.
Sic loquutus, perduxit fratrem celerem viatorem
Ieſus vbi habitabat: amica autem facie
Chriſtus videns Simonem, ſapienti demulſit verbo,
Filius Ioannis tu mihi eras: es autem Simon,
Operarius maris. tu mihi voceris Cephas:
Secundum nomen accipe recentius, viri alii
Petrum quod vocant. cognomen autem occultabit
Vetuſtius Simonis, præſtantius nomen Petri,
Fidei firmæ ſignum. Sed quando vicina
In ſummo apparẽs roſcidis radiis rubefecerat aurora,
Ieſus poſt noctem obſcuram volebat ire
Ad ciuitatem piſcoſam longos capillos habentium (fieri
Galilæorum:
Et prope inuenit Philippum: Rex autem illum iuſſit
Fidelem ſuum adiutorem, retrò euntem viatorem,
Sequere & tu Philippe. & adhuc recèns audiens
Auribus ſermonẽ ſuſcepit, & veſtigiis præuenit vocẽ.
Communẽ autem habebat Philippus ſuam Bethſai-
da patriam
Andreas vbi habitauit, vbi audax habitauit Simon.
Nathanaelem verò Philippus ſuo demulſit verbo,
Inueniens eum patula ſub arbore, Quem ſapiens vir
Moſes priſcus deſcripſit diuino in libro,
Inuenimus, quẽ ſimul omnes cõcordi quodã ſermo- (ne
Futurorum præcones cõfirmarunt prophetæ

Ieſum,

Ἰησοῦν, ὁππόιο βοώμενον υἱὸν Ἰωσήφ,
Ναζαρὲθ ναετῆρα, θεοῦ γόνον. ἀγχιπόρῳ δὲ
Ναθαναὴλ ταχύμητις ἔπος ξυνώσατε Φι-
λίππῳ,
Ἐκ Ναζαρὲθ δύναται καλὸν ἔμμεναι; εἰρομένῳ δὲ
Σύνδρομος εἶπε Φίλιππος ἀπειροκάκῳ ἐνὶ μύθῳ,
Ἔρχεο καὶ σκοπίαζε. καὶ ἀγχικέλευθον ὁδίτην
Ναθαναὴλ ταχύγουνον ἄναξ ἐδείκνυε λαῷ,
Ἰσραὴλ γόνος οὗτος ἐτήτυμος, οὔτινι τεύχων
Ἢ δόλον ἀλλοπρόσαλλον, ἢ ἀγκύλα μήδεα φαίνων.
Ναθαναὴλ δ' ἀΐων, ἐπεδείκνυε θαύματι φω-
νήν,
Πῶς φρεσὶ γιγνώσκεις με, τὸν οὐ πάρος εἶδες ὀπω-
πῇ;
Εἰπὲ πόθεν νοέεις με. Καὶ ἀνέρι θέσκελον αὐδὴν
Κοίρανος ὀμφήεντος ἀνήρυγεν ἀνθερεῶνος,
Πρὶν καλέσαι σε Φίλιππον, ὑπὸ σκιοειδέϊ συκῇ
Ἔδρακον ὑψικόμοισι παρενδιάοντα κορύμβοις,
Ὄμμασι καὶ πραπίδεσσι τὸν οὐ παρεόντα δοκεύων.
Ναθαναὴλ δ' ὀλόλυξεν ἔχων ταχυπειθέα βου-
λήν,
Θαύματι πιστὰ μέτωπα θεουδέϊ χειρὶ πατάξας,
Ῥαββὶν, ἐπουρανίων ἀδύτων ὑψίθρονε ποιμήν,
Ἰσραὴλ σὺ πέλεις βασιλεύς· σὺ Χριστὸς ὑπάρχεις,
Υἱὸς ἀειζώοιο θεοῦ λόγος. ἀμφότερον δὲ,
Ἰσραὴλ τεκέων σε θεὸν βασιλῆα καλέσσω,
Καί σε θεοῦ ζάοντος ἐτήτυμον υἱὸν ἐνίψω.
Καί μιν ἄναξ θάρσυνεν, ἐς ἐλπίδα φέρτερον ἕλκων.
Πίστιν ἔχεις, τινὰ μοῦνον ἀθαμβέα μῦθον ἀκού-
σας,
Ὅττι σε μοῦνον ἔειπον ἰδεῖν ὑπὸ πυθμένα συκῆς·
Ὄμμασι πιστοτέροισιν ὑπέρτερα θαύματα λεύσσεις.
Μάρτυρον ἐμπεδόμυθον ἀμὴν ἀμὴν σέβας ἔστω,
Οὐρανὸν ἀθρήσητε κεχηνότα θεσπεσίῃ ῥιπῇ,

Πεπτα-



Iesum, sancti vocatum filium Ioseph,
Nazareth habitatorē, Dei filium. Propinquo verò
Nathanael celeris consilii verbum communicauit
Philippo,
Ex Nazareth potest bonum esse? Interroganti autem
Comes dixit Philippus malorum ignaro verbo,
Veni & vide. Et prope vadentem viatorem
Nathanaelem velocem rex monstrabat populo,
Israel filius hic [est] verus, nulli struens
Vel dolum mutabilem, vel curua consilia ostendens.
Nathanael verò audiens, produxit cum admiratione
vocem,
Quomodo mente cognoscis me, quem non antea vi-
disti oculis?
Dic vnde nosti me. Et viro diuinam vocem
Dominus vocali eructauit ex mento [.i. ore]
Antequam vocaret te Philippus, sub vmbrosa ficu
Vidi alticomis commorantem sub ramis,
Oculis & mente non præsentem videns.
Nathanael autem vociferabatur, habens credulam
voluntatem,
Præ admiratione fidelem frontē pia manu percutiēs,
Rabbi, cœlestium recessuum sublimis pastor,
Israel tu es rex, tu Christus es,
Filius semper viuentis Dei Verbum. vtrumque autē,
Israel filiorum te Deum regem vocabo,
Et te Dei viui verum filium dicam.
Et ipsum rex confirmauit, in spem meliorem trahēs,
Fidem habes quoddam solum intrepidum verbum
audiens,
Quòd te solùm dixi vidisse ad radicem ficus:
Oculis magis credulis superiora miracula videbis.
Testificans firmiloquus Amen Amen cultus sit,
Cœlum aspicietis apertum diuino impetu,

Volantibus

Πεπταμένων στεφανηδὸν ἀθηήτων κενεώνων,
Ἀγγελικῆς τε φάλαγγος ἐΰπτερον ἑσμὸν ὁδίτην,
Αἰθερίης ὄψεσθε καταΐσσοντα κελεύθου
Οὐρανόθεν κατιόντα, παλιννόστῳ τε πορείῃ
Οὐρανὸν εἰσανιόντα, μετάρσιον, ἠεροφοί-
τη,
Υἱέος ἀνθρώποιο διάκτορον. Ἀλλ' ὅτε πέτρας Κεφ. β.
Πορφυρέας τριτάτη θαλαμηπόλος ἔγραφεν ἠώς,
Ἀμφὶ πέδον Κανάναιον ἀεξιφύτου Γαλιλαίης,
Παιδοτόκου, γάμος ἔσκε, βίου πρωτόσπορος
ἀρχή.
Καὶ γάμος ὄλβιος ἦεν, ὅτι χθονίῳ παρὰ παστῷ,
Χριστὸς ὀπισθοκόμων μερόπων θοινήτορι λαῷ
Κλητὸς ἔην σύνδορπος, ὁμοκλινέες τε μαθηταὶ
Πάντες ἔσαν στοιχηδόν. ἐς εἰλαπίνην δὲ καὶ αὐτὴ
Παρθενικὴ Χριστοῖο θεητόκος ἵκετο μήτηρ,
Ἀχράντῳ παλάμῃ γαμίης ψαύουσα τραπέζης,
Παιδοτόκος, φυγόδεμνος, ἀεὶ μεθέπουσα κορείην.
Οἴνου δ' ἡδυπότοιο θυώδεες ἀμφιφορῆες
Πάντες ἐγυμνώθησαν, ἐπασσυτέροισι κυπέλλοις
Πινομένου. στυγνοὶ δὲ φιλακρήτῳ παρὰ παστῷ
Οἰνοχόοι δρηστῆρες ἀβακχεύτοιο τραπέζης,
Ἀβρέκτοις παλάμῃσι μάτην ἥπτοντο κυπέλλων.
Ἡμιτελῆ δὲ γάμοιο μέθην, καὶ ἄοινον ὀπώ-
ρην,
Χριστῷ καὶ δεδαῶτι, συνέστιος ἔννεπε μήτηρ,
Χρηΐζει γάμος οὗτος ἀλεξικάκου σέο φωνῆς.
Οὐ γὰρ ἐϋρραθάμιγγος ἔχει χύσιν ἡδέος οἴ-
νου.
Καί οἱ Χριστὸς ἔειπε, Τί μοι γύναι ἠὲ σοὶ αὐτῇ;
Οὔπω μοι πυμάτης δρόμος ἤλυθε κυκλάδος ὥρης.
Καὶ Μαρίη δμώεσσιν ἐκέκλετο τοῦτο τελέσσαι,
Χριστὸς ὅπερ λέξειεν. ἀμοιβαίῳ δ' ἐνὶ τοί-
χῳ





Volantibus in modum coronæ inuisibilibus spiritibus,
Angelicæ & aciei alatum cœtum viatorem
Cœlesti videbitis descendentem via,
Cœlitus delatum: & reuersiua via
In cœlum iterum ascendentem, sublimẽ, in aere am-
bulantem
Filii hominis ministrū. Sed quādo petras Cap. 2.
Purpureas tertia nuptialis signauerat aurora,
In campo Cananæo augentis plantas Galilææ
Nuptiæ erant, pueros producentis vitæ seminatiuum
(uium
principium
Et nuptiæ felices erant, quòd terrestre apud conui-
Christus retrò crinitorum hominum epulāti populo
Vocatus erat conuiua, simul accumbētes & discipulī
Omnes erant ex ordine. ad conuiuium verò & ipsa
Virgo Christi Dei genitrix venit mater,
Immaculata manu nuptialem attingens mensam,
Puerpera, lectifuga, semper sectans virginitatem.
Vino autem suaui fragrantes amphoræ
Omnes vacuæ erant, crebrò repetentibus poculis
Poto: tristes verò, mero gaudente in conuiuio,
Pincernæ ministri vino non rigatæ mensæ,
Siccis manibus frustrà attingebant pocula.
Ad semiperfectam verò nuptiarum ebrietatem vi-
nóque carentem mensam secundam
Christo etiam scienti simul accumbens dixit mater,
Indigent nuptiæ hæ malum pellente tua voce.
Non enim bene irrorantis habent humorem suauis
vini.
Et ei Christus dixit, Quid mihi mulier vel tibiipsi?
Nondum mihi vltimæ cursus venit circularis horæ.
Et Maria famulos vocauit vt hoc perficerent
Christus quodcunque dixisset. opposito autem in pa-
riete

Κεκλιμέναι στοιχηδὸν ὁμόζυγες ἀμφιφορῆες
Ἓξ ἔσαν, τρία μέτρα κεχανδότες εὐρέϊ κόλπῳ,
Ἢ δύω· καὶ ἕκαστος Ἰουδαίοισι φυλάσσων
Λαϊνέῳ κενεῶνι καθάρσιον ἔβλυεν ὕδωρ,
Ἁγνὸν ὕδωρ. καὶ Χριστὸς ὑποδρηστῆρας ἐπείγων
Διψάδος εἰλαπίνης, οἰνοσσόον ἴαχε φωνήν,
Ἀρτιχύτων ὑδάτων ἐγκύμονας ἀμφιφορῆας
Πλήσατέ μοι. καὶ πάντας ἀμοιβαδὶς ἄλλον ἐπ' ἄλλῳ
Νάματος ἐπλήσαντο διάκτορες, εἰσόκεν αὐτῶν
Ἀκροφανὴς εὔυδρος ἐπέστεφε χεῖλος ἐέρση.
Ἄφνω δ' ἔπλετο θαῦμα· καὶ εἰς χύσιν αἴθοπος οἴνου
Χιονέην ἤμειψε χρόην ἑτερόχροον ὕδωρ
Χεύματι φοινίσσοντι, καὶ ὑδροδόκου διὰ κόλπου,
Ὕδατος ἀκρήτοιο φιλόβιος ἔπλεεν αὔρη.
Οἰνοπότῃ δ' ἐκέλευσεν ἄναξ σημάντορι φωνῇ.
Κρηναίης ἀρύοντες ὑποτροφίης ἀπὸ ληνοῦ,
Εἰλαπίνης μεδέοντι κομίσσατε νήδυμον ὕδωρ.
Οἱ δὲ χύδην ἀρύοντο παλιννόστοισι κυπέλλοις.
Καὶ ταμίης ὅτε δαιτὸς ἐγεύσατο μάρτυρι λαι-
μῷ
Νάματος οἰνωθέντος ἐρευθιόωντι ῥεέθρῳ,
Οὐ μὲν ἀνὴρ πόθεν ἦεν ἐπίστατο, ὑδροφόρος δὲ
Ἤδεε λάτρις ὅμιλος, ὃς ὑγροχύτων ἀπὸ κόλ-
πων
Ἄγγεσι λαϊνέοις μετανάστιον ἤφυσεν ὕδωρ.
Εἰλαπίνης τότε πομπὸς ἔσω μεγάροιο καλέσσας
Νυμφίον ἀρτιχόρευτον, ἑῷ προσπτύξατο μύθῳ,
Πᾶς μὲν ἀνήρ, πρόκριτον εὔχροον οἶνον ἀφύσσων,
Κρινάμενος προτίθησι, βαρυνομένων δὲ καρήνων,
Ἄνδρας ἰδὼν μεθύοντας, ἐλάσσονα δεύτερον οἶνον·
Ὀψὲ φέρει· σὺ δὲ τοῦτον ἀρείτερον ἔνδοθεν οἴκου
Οἶνον ἔχων ἐφύλαξας ἕως πέλε λοίσθιος ὥρη.
Πρωτοφανὲς τόδε θαῦμα φιλακρήτῳ παρὰ
παστῷ





Reclinatæ ordine coniunctæ amphoræ
Sex erant, tres mensuras capientes lato sinu,
Vel duas: & quælibet Iudæis custodiens
Lapidosa cauitate lustralem scaturiebat aquam,
Puram aquam. & Christus ministros vrgens
Sitibundi conuiuii, viniferam sonuit vocem,
Recèns fusa aqua refertas amphoras
Implete mihi. Et omnes alternatim vnā post aliam
Aqua impleuerunt ministri, donec ipsarum
In summitate apparens aquosus coronabat labra ros.
Subitò autē erat miraculum, & in fluorē nigri vini
Niueum mutauit colorem diuersam aquam
Fluore rubicundo, & aquam capientem per sinum
Aquæ meræ lætificans natabat humor.
Conuiuii autē inspectori iussit rex significatiua voce,
Fontano haurientes domestico ex lacu,
Conuiuii moderatori afferte suauem aquam.
Illi verò affatim hauriebant redeuntibus poculis.
Et dispensator, quando conuiuii gustasset testificante
gutture
Aquam in vinum versam rubicundo fluore,
Non sanè vir vndénam erat sciuit: aquarius autem
Sciuit famulans cœtus, qui aquam fundentibus ex
finibus
Vasis lapideis alienam hausit aquam.
Conuiuii tunc dux intra domum vocans
Sponsum nouiter ductum, suo affatus est verbo,
Omnis quidē vir primùm boni coloris vinū promēs,
Eligens apponit, grauatis verò capitibus
Viros videns ebrios, vilius aliud vinum
Serò fert: tu verò hoc præstantius intra domum
Vinum habens, seruasti donec esset vltima hora.
Primùm apparens hoc miraculum meri cupido in
conuiuio

Ἰησοῦς ἐτέλεσσεν, ὅπῃ Κανανᾶιον ἀκούει
Ἔνδιον αἰπύδμητον ἀκερσεκόμων Γαλιλαίων.
Ἑβραίοις δ' ἀνέφηνεν ἑὴν ὑψαύχενα τιμὴν
Διψαλέην παρὰ δαῖτα. διχοστασίην δὲ μενοινῆς
Ἤθεσιν ἀκλινέεσσιν ἐπιστώσαντο μαθηταί.
Οὐ μὲν ἄναξ δήθυνε πέδου Κανανᾶιον ἀκούων
Νυμφιδίην μετὰ δαῖτα μεθυσφαλέων ὑμεναίων,
Ἀλλὰ Καφαρναοὺμ ἁλιγείτονος ἔδρανα βαίνων,
Νόστιμον ἴχνος ἔκαμψε, κατηβατὴν οἶμον ὁδεύων
Αὐτὸς, ὁμοῦ γνωτοί τε συνήλυδες. αὐτογόνῳ δὲ
Παρθένος ὡμάρτησε θεητόκος υἱέϊ μήτηρ,
Οἷσι δυωδεκάριθμος ὁμόστολος εἶχεν ὁδεύων
Ἀγχιθέων μίαν οἶμον ὀπίστερος ἑσμὸς ἑταίρων.
Οὐδὲ μὲν αὐτόθι μίμνεν ἐς ἤματα πυκνὰ θαμίζων.
Ἐγγύθι γὰρ τότε πάσχα, θυηπολίην δὲ γεραί-
ρων,
Εὐαγέων ἀνέβαινεν ἐς ἔδρανον Ἱεροσολύμων,
Σὺν πινυτοῖς ἑτάροισι. θεοκλήτῳ δ' ἐνὶ νηῷ
Εὐκεράους βόας εὗρε, καὶ εἰροπόκων στίχα μήλων,
Καὶ στικτὰς μελέεσσι πελειάδας. ἑζόμενον δὲ
Κερμοδότην χορὸν εὗρε φιλοπλούτοιο τραπέζης,
Καὶ πολὺν ἐσμὸν ὄπωπε φιλέμπορον ὑψόθι θώκων,
Ὤνιον ἔργον ἔχοντα. καὶ ἐν παλάμῃσιν ἑλίξας
Σύμπλοκον ἐκ σχοίνοιο νόθην ποίησεν ἱμάσθλην,
Καὶ βοέην ἀγέλην ἐξήλασε, καὶ στίχα μήλων,
Νόσφι δόμου θυόεντος. ἐπισσυτέρην δὲ κυλίνδων,
Κύμβαχον ἠκόντιζε μετάτροπον ἔμπορον ἕδρην
Ἐξ ἱεροῦ δαπέδοιο. κυβιστητῆρι δὲ παλμῷ
Ἐξέχεε χθονὶ κέρμα πολυστρέπτοιο τραπέζης.
Ἀνδρὶ δὲ πωλήσκοντι πελειάδας ἴαχε φωνήν,
Ταῦτα μεταστήσασθε λιθώδεος ἔκτοθι νηοῦ,
Μηδὲ φιλοκτεάνοιο νόου βεβαρηότες οἴστρῳ,
Ἐμπορίης δόμον ἁγνὸν ἐμοῦ τελέσητε τοκῆος.
Εὐχῆς γὰρ τόδε δῶμα. Καὶ ἐμνήσαντο μαθηταὶ





Iesus perfecit, vbi Cananæum audit [.i. dicitur]
Diuersoriũ altè extructum intõsorum Galilæorum.
Hebræis autẽ manifestauit suum gloriosum honorem
Sitibundo in conuiuio: ambiguitatẽ autem mentis
Moribus firmis confirmarunt discipuli.
Nõ sanè rex cõmorabatur in terra Cananæa dicta
Sponsale post conuiuium vino carentium nuptiarũ,
Sed Capernaum maritimi ad mansiones vadens,
Rediens vestigium flexit, decliuem semitã incedens
Ipse, simul & fratres comites. per se genitum verò
Virgo sequebatur Deipara filium mater.
Quibuscum duodenarius comes habebat incedens
Diuinorum vnam viam posterior cœtus sociorum.
Neque sanè ibi mansit per dies crebros frequentãs:
Propè enim tunc erat Pascha: sacrorum tractationem
verò honorans,
Sanctorum ascendit ad sedes Hierosolymorum
Cum prudentibus sociis. Diuino autem in templo
Cornutos boues inuenit, & lanigerarũ ordines ouiũ,
Et varias membris columbas: sedentem verò
Numularium cœtum inuenit diuitis mensæ,
Et multum cœtum vidit negotiantem supra sedilia,
Venale negotium habentem: & in manibus voluens
Complexum ex funibus alienum fecit flagellum:
Et bouinum gregem expulit, & ordines ouium,
Extra domum odoratam. crebrum autem voluens,
Præceps percutiebat euersam quæstuosam sedem
E sacro pauimento. præcipiti autem vibratione
Effudit in terram pecuniam multum euersæ mensæ:
Viro autem vendenti columbas sonuit vocem,
Hæc transferte lapidosum extra templum,
Neque lucri auidæ mentis grauati stimulo
Mercatus domum sanctam mei faciatis patris:
Precationis enim hæc domus. Et recordati sunt
discipuli

Ὅττι θεοπνεύστῳ κεχαραγμένον ἔπλετο βίβλῳ,
Ζῆλος ἐμὲ ζαθέοιο τεοῦ καταδάψεται οἴκου.
Καί οἱ ἀπειλήτειραν ἀνήρυγε λαὸς ἰωὴν,
Ποῖα παρ' Ἑβραίοις ἐπερχόντα σήματα δείξεις,
Ὅττι σὺ ταῦτα τέλεσσας; Ἀμιλλητῆρι δὲ λαῷ
Θαμβαλέην ἄγνωστον ἄναξ ἠρεύγετο φωνὴν,
Λύσατε τοῦτο μέλαθρον, ἐγὼ δέ μιν αὐτὸς ἐγείρω
Ἤμασιν ἐν τρισσοῖσιν. Ἐπεφθέγξαντο δὲ λαοὶ,
Ὃν Σολομὼν ποίησε λίθων ἑτερόχροϊ κόσμῳ,
Εἰς δολιχὴν βαλβῖδα παλινδίνητον ὑφαίνων
Ἓξ καὶ τεσσαράκοντα φιλοκτίστων ἐνιαυ-
τῶν,
Κτίσμασιν ὁπλοτέροισι παλίλλυτον οἶκον ἐγείρῃς
Τοσσατίην μετὰ νύσσαν ὅπῃ τριτάτης δρόμον ἠοῦς;
Κεῖνος νηὸν ἔειπεν ἑοῦ χροὸς, ὃν τινι μύθῳ
Φρικτῷ Χριστὸς ἔμελλεν ὅπῃ τρίτον ἦμαρ ἐγείρειν.
Ἀλλ' ὅτε δὴ μετὰ κόλπον ἀνοστήτοιο βερέθρου
Νόστιμος ἐξ ἀΐδαο παλινζώῳ τινὶ πότμῳ
Ἀρχαίην παλίνορσον ἑὴν ἀνεδύσατο τιμὴν
Οὐρανίην, τότε μοῦνον ἀνεμνήσαντο μαθηταὶ,
Ὅττι δόμον δέμας εἶπε. θεογλώσσοιο δὲ βίβλου
Θεῖον ὅπῃ στήσαντο λόγον, πείθοντό τε μύ-
θῳ,
Ἰησοῦς ὃν ἔειπε. θεοδμήτῳ δ' ὅπῃ νηῷ
Ἄχρις ἔην, καὶ ἕδεθλα διέστιχεν Ἱεροσολύμων,
Εὐάζων ἔτι Πάσχα· καὶ ἀρνοφάγων ἱερήων
Ὄργια μυστιπόλευε φιλόκροτα θυμάς ἑορτῇ.
Πολλοὶ δὲ λύσσαν ἄπιστον ἐπετρέψαντο θυέλλαις,
Χριστοῦ πίστιν ἔχοντες ἐς οὔνομα. πειθομένοις δὲ
Ἀνδράσιν οὐ πίστευεν ἑὸν νόον. οὐ γὰρ ἀκούειν
Ἄλλου φθεγγομένοιο νόθης ἐπεδεύετο φωνῆς,
Ὄφρα μάθῃ νόον ἀνδρὸς ἀμάρτυρον. ἔργα δὲ φω-
τῶν
Ἤδεεν αὐτοδίδακτος, ὅσα φρενὸς ἔνδοθεν ἀνὴρ

Εἶχεν,



Quòd diuinitus inspirato signatum erat libro,
Zelus me diuinæ tuæ comedit domus.
Et ipsi minatricem eructauit populus vocem,
Qualia apud Hebræos varia signa ostendes
Quòd tu hæc perfecisti? Contentioso autē populo
Admirandam incognitam rex eructauit vocem,
Soluite hanc domum, ego verò ipsam erigam
Diebus in tribus. Respondit autem populus,
Quam Solomon fecit lapidum vario ornatu,
In longum initium reuersam texens
Sex & quadraginta ædificationis cupidorum an-
norum,
AEdificiis posterioribus rursus solutā domū erigeres
Tantam post metam, post tertiæ cursum auroræ?
Ille tēplum dixit sui corporis, quòd quodā sermone
Horrido Christus erat post tertiū diē resuscitaturus.
Sed quando sanè post sinum irregradi barathri
Redux ex inferis rursus viuente quodam fato
Veterem reciprocum suum resumpsit honorem
Cœlestem, tunc solùm recordati sunt discipuli
Quòd domum corpus dixisset: deiloqui autem libri
Diuinum confirmarunt sermonem, & crediderunt (plo
verbo
Iesus quod dixit. Diuinitus autem ædificato in tem-
Vsque erat, & sedilia transiuit Hierosolymorum,
Celebrans adhuc Pascha: & agniuororum sacerdotū
Mysteria tractabat plausibilia solenne festum,
Multi [tum] rabiē incredulā commiserunt ventis,
Christi fidem habentes in nomen. Credentibus verò
Viris non confidit suum animum. non enim audire
Alium loquentem spuria indigebat voce,
Vt disceret animum viri sine testimonio. opera autē
virorum
Sciebat per se doctus, quæcunque intra mentem vir

Εἶχεν, ἀκηρύκτῳ κεκαλυμμένα φάρεϊ σιγῆς.
Ἦν δέ τις ἱερὸν αἷμα γοοπλανέων Κεφ. γ.
Φαρισαίων,
Ἀρχὸς Ἰουδαίων, πολυλήϊος, ἔννομος ἀνήρ.
Οὔνομά οἱ Νικόδημος. ἀμάρτυρος οὗτος ὁδίτης
Χριστῷ νυκτὸς ἵκανε φυλασσομένῳ ποδὶ βαίνων,
Ἔννυχος εἰς δόμον ἦλθεν, ὅπη φάος. ἀνδρὶ δὲ πι-
στῷ
Ἰησοῦς ἐνέπων βαπτίσματος ἔνθεον αἴγλην,
Νυκτιφανῆ Νικόδημον ἑῷ φαιδρύνατο μύθῳ.
Καί οἱ μῦθον ἔλεξε θεῷ πειθήνιος ἀνήρ,
Ῥαββὶν ποικιλόμυθε, θεοφραδὲς, ἴδμεν ὅπως σὺ
Ὅττι θεοῦ πομπῇσι διδάσκαλος ἵκεο κόσμου,
Ἀνδρομέου βιότοιο βοηθόος. οὐ δύναται γὰρ
Θνητὸς ἀνὴρ τάδε πάντα πολύξενα θαύματα τεύχειν,
Ὅσσα σὺ θεσπεσίῳ τελέεις παιήονι μύθῳ,
Εἰ μή οἱ συνάεθλος ἀλεξίκακος θεὸς εἴη.
Ἰησοῦς δ' ἀγόρευεν ἀσημάντῳ τινὶ μύθῳ,
Εἰ μή τις μετὰ κέντρα τελεσσιγόνοιο λοχείης
Θνητὸς ἀνὴρ τίκτοιτο τὸ δεύτερον, αἰθερίης αὐλῆς
Οὐ δύναται βροτὸς οὗτος ἔχειν αἰώνιον ἀρχήν.
Καὶ κεράσας Νικόδημος ἀνήρυγε θαύματι φωνήν,
Πῶς δύναται μετὰ γῆρας ἀνὴρ, μετὰ λευκάδα χαίτην,
Ἄλλην ὀψιτέλεστον ἔχειν ὠδῖνα γενέθλης;
Μὴ δύναται δίχα πατρὸς, ἀεξιτόκου διὰ κόλπου
Μητέρος ἀρχαίης ἐγκύμονα γαστέρα δύνων,
Θεσμὸν ἰδεῖν γονόεντα παλιννόστου τοκετοῖο;
Ἰησοῦς δ' ἀπάμειπτο, διδάσκαλον ἄνδρα διδάσκων,
Εἰ μή τις καθαροῖσι δέμας λουτροῖσι καθαίρων
Πνεύματος ἐξ ἁγίοιο καὶ ὕδατος, εἰν ἑνὶ θεσμῷ,
Ὁπλοτέρην δέξοιτο γενέθλιον ἄσπορον ἀρ-
χήν,
Ἀντίτυπον μίμημα γυναικείου τοκετοῖο,
Οὐ δύναται βροτὸς οὗτος ἐπεσσομένοισι νοῆσαι

Οὐρα-



Habebat, non prædicato occultata tegmine ſilentii.
Erat autem quidam ſacri generis Cap. III.
luctiuagorum Phariſæorum,
Princeps Iudæorum, locuples, iuſtus vir:
Nomen ei Nicodemus. expers teſtimonii hic viator
Ad Chriſtum noctu venit, cauto pede incedens,
Nocturnus in domum venit vbi lux[erat:]viro autem
fideli
Ieſus enarrans baptiſmi diuinum ſplendorem,
Noctu apparẽtẽ Nicodemum ſuo exhilarauit verbo.
Et ipſi ſermonem dixit Deo credulus vir,
Rabbi variloque, deiloque, ſcimus aſpectu
Quòd Dei ductu magiſter veniſti mundi,
Humanæ vitæ adiutor. non poteſt enim
Mortalis homo hæc omnia varia miracula facere,
Quæ tu diuino perficis medicante verbo,
Niſi ei auxiliator mala depellens Deus fuerit.
Ieſus autem dixit obſcuro quodam verbo,
Niſi quis poſt ſtimulum fœtum perficientis partus
Mortalis vir natus fuerit iterum, cœli aulæ
Non poteſt homo ille habere æternum principatum.
Et miſcẽs Nicodemus eructauit cũ admiratione vocẽ,
Quomodo poteſt poſt ſenectã vir, poſt albos crines,
Alium ſerò perfectum habere partum generationis?
Num poteſt ſine patre fœtum augentem per ſinum
Matris antiquæ grauidum ventrem ſubiens
Leges videre genitrices reciproci partus?
Ieſus verò reſpondit, magiſtrum virum docens,
Niſi quis puris corpus lauacris purgans
Spiritu ex ſancto & aqua, in vna ſanctione,
Recẽtius recipiat generatiuum non ſeminatum prin-
cipium,
Expreſſam imitationem muliebris partus,
Non poteſt homo hic futuri cognoſcere

Cœleſtem

Οὐρανίην αἰῶνος ἀτέρμονος ἥλικα τιμήν.
Καὶ γὰρ ὅπερ μερόπων χθονίη διεώσατο γαστὴρ,
Σαρκὸς ἀπὸ βροτέης μορφούμενον, ἀνδρομέη σάρξ
Τοῦτο πέλει· τὸ δὲ θεῖον, ὅπερ καθαροῖο λοετροῦ.
Πνεύματος αὐτογόνοιο πέλει καθαροῖο λοετροῦ,
Πνεῦμα πέλει ζωαρκὲς ἀμαιεύτῳ τινὶ θεσμῷ,
Αὐτόματον βλάστημα παλιγγενέος τοκετοῖο.
Καὶ μὴ θάμβος ἔχοιτε θεοφραδέος περὶ μύθου,
Ὑμέας εἴπερ ἔειπον ὅτι χρέος ἐστὶ νοῆσαι
Ὕδατι τικτομένην ἑτέρην βαλβῖδα γενέθλης.
Πνεῦμα παλινδίνητον ἀθηήτῳ τινὶ παλμῷ,
Οἶδε περιπνείειν ὅθι βούλεται. ἀγχιφανῆ δὲ
Φωνῆς ἠερίης θεοδινέα βόμβον ἀκούεις
Οὔασιν ὑμετέροις πεφορημένον· ἀλλὰ δαῆναι
Οὐ δύνασαι βλεφάροις πόθεν ἔρχεται, ἢ πόσε βαίνει.
Οὕτω παντὸς ἔφυ τύπος ἀνέρος ἐκ πυρὸς ὑγροῦ
Πνεύματι τικτομένοιο, καὶ οὐ στροφάλιγγι κονίης.
Ἔννεπε· καὶ Νικόδημος ἀμείβετο, Ταῦτα γενέσθαι
Πῶς δύναται; Καὶ Χριστὸς ἀνήρυγε θέσκελον ὀμ-
φὴν,
Ἰσραὴλ σὺ μὲν ἐσσὶ διδάσκαλος, οὐ νοέεις δέ;
Ἀλλά σε ταῦτα λέληθεν, ἐμὴν δ' οὐκ οἶδας μενοινήν;
Μάρτυρον ἐμπεδόμυθον ἀμὴν ἀμὴν πάλιν ἔσπω,
Θεσπεσίης ὅπερ ἴδμεν ἐτήτυμον ἔγκυον ὀμφῆς,
Φθεγγόμεθα, σπείροντες ἐς οὔατα δύσμαχα φωτῶν,
Χείλεσιν ἀπλανέεσσι, καὶ ὑμετέροιο τοκῆος,
Ὅσσα παρ' ὑψιμέδοντος ἐμαὶ δεδάασιν ἀκουαὶ,
Μαρτυρίης κήρυκι διδάσκομεν ἴδμονι φωνῇ.
Ἡμετέρην δ' ἀδίδακτος ἀκηλήτων νόος ἀν-
δρῶν
Πιστὴν μαρτυρίην οὐ δέχνυται, ἀπλανέων δέ.
Εἴ τινα μῦθον ἔειπον ἐπιχθονίων πέρι ἔργων,
Καὶ τόσον ὑμείων βαρυπειθέες εἰσὶν ἀκουαὶ,
Εἰ στρατιὴν πτερόεσσαν ἢ αἰθέρος ἔργα βοήσω,

Μᾶλλον



Cœlestem seculi infiniti coætaneum honorem.
Etenim quod hominum terrestris protrusit venter
Carne ab humana formatum, humana caro
Hoc est: diuinum autem illud quod ex puro lauacro
Spiritus per se geniti est puri lauacri,
Spiritus est vitalis, obstetrice carente quadam lege
Spontaneum germen regenerati partus.
Et non obstupescatis deiloquum ob sermonem,
Vos si dixi quòd necesse sit percipere
Aqua natum aliud initium generationis.
Spiritus reuolutus inuisibili quadam vibratione
Nouit perflare vbi vult, prope apparentem verò
Vocis aereæ diuinitus motum sonitum audis
Auribus vestris delatum: sed scire
Non potes palpebris vnde veniat vel quò vadat.
Sic omnis est typus viri ex igne humente
Cum spiritu procreati, & non vertigine pulueris.
Dixit: & Nicodemus respondit, Hæc fieri
Quomodo, possunt? Et Christus eructauit diuinam
vocem,
In Israel tu quidem es doctor, nescis autem?
Sed te hæc latent, meam verò non nosti mentem?
Testificans firmiloquum Amen Amen rursus sit,
Diuinæ quod scimus verum plenum vocis
Loquimur, seminantes in aures repugnantes virorum
Labiis non errantibus: & nostro patre
Quæcunque ab altiregente meæ didicerunt aures,
Testimonii præcone docemus scienti voce:
Nostrum autem indocilis intractabilium mens vi-
rorum
Fidele testimonium non recipit. non errantium verò
Si quendā sermonē dixi terrestrium gratia operum,
Et adeo vestræ tardæ ad credendum sunt aures:
Si exercitum volantem vel cœli opera prædicauero,

Magis

Μᾶλλον ἀπειρήτοισι πόθεν πείθεσθε μερίμναις,
Οὐρανίης ἀΐοντες ἀθηήτου φύσιν ὕλης;
Οὔποτε γὰρ βροτὸς ἄλλος, ὑπηνέμιον πόδα πάλλων,
Οὐρανίων ἐπάτησεν ἀνέμβατον ἄντυγα κύκλων,
Εἰ μὴ θέσκελος ἐστὶν, ὃς ἀθανάτην ἑὴν μορφὴν
Οὐρανόθεν κατέβαινεν ἀηθέα σαρκὶ συνάπτων,
Ἀνθρώπου μόνος υἱὸς, ὃς ἀστερόεντι μελάθρῳ
Πάτριον οὖδας ἔχων, αἰώνιος αἰθέρα ναίει.
Καὶ σκοπιῆς παρὰ πέζαν ἐρημάδος αἶάτε Μωσῆς
Δακνομένων ὕψωσεν ὄφιν δηλήμονα φωτῶν,
Δουρατέης μιμέοντα τύπον ποιητὸν ἀκάνθης·
Οὕτω γυιοβόρων τελέων ἀλκτήρια νούσων,
Καὶ παῖς ἀνθρώποιο βροτοῖς ὑψούμενος ἔσται,
Λοιγοπόνου μίμημα δρακοντείοιο προσώπου·
Ὄφρα μιν ὃς δέξαιτο νόου πειθήμονι θεσμῷ,
Ζωῆς κυδιάνειραν ἐσαθρήσειε γαλήνην,
Εἰς ὅσον εὐρυγένειος ἐλίσσεται ἔμπεδος αἰών.
Οὕτω γὰρ πολύμορφον ἐφίλατο κόσμον ἀλήτην
Ὑψιμέδων σκηπτοῦχος, ὅτι κραιπνήτορα φωτῶν
Μουνογενῆ λόγον υἷα πόρεν τετράζυγι κόσμῳ,
Ὄφρα μιν ὃς δέξοιτο, μετάτροπον ἤθεος ἀμείψας,
Πίστιν ἐς ἀστυφέλικτον ἑκούσιον αὐχένα κάμπτων,
Ζωῆς οὐρανίης αἰώνιον εἰς χορὸν ἔλθῃ,
Ναίων ἄφθιτον οἶκον ἐν εὐδένδρῳ παραδεί-
σῳ.
Οὐ γὰρ ἑὸν λόγον υἷα πατὴρ θεὸς ὤπασε κόσμῳ,
Κόσμον ἵνα κρίνειε προαίριον, ἀλλὰ πεσοῦσαν
Ἀνδρομέην ἵνα πᾶσαν ἀναστήσειε γενέθλην.
Ὃς δέ μιν ἀπλανέος κραδίης μειλίξατο θεσμῷ,
Ῥίψας ἠερίοισιν ἀπειθέα λύσσαν ἀήταις,
Ὀρθὴν πίστιν ἔχων, οὐ κρίνεται· εἰ δέ τις ἀνὴρ
Ἀνδρομέην ἐπὶ σάρκα νοοσφαλὲς ὄμμα τιταίνων,
Τολμήεις ἐπέτασσε θεημάχον ἀνθερεῶνα,
Ἀνὴρ κέκριται ἐστὶν, ὅτι βραδυπειθεῖ θυμῷ

Οὔπω



Magis inexpertis vnde credetis animis,
Cœlestis audientes inuisibilis naturam materiæ?
Nunquam verò homo alius velocem pedem vibrans
Cœlestium calcauit inaccessum ambitũ circulorum,
Nisi diuinus hic, qui immortalem suam formam
Cœlitus descendit inconsuetam carne copulans,
Hominis solus filius, qui stellata in domo
Patrium solum habens, æternus in cœlis habitat.
Et scopulosi iuxta regionem deserti sicuti Moses
Morsorum exaltauit serpentẽ corruptorẽ hominum,
Lignosæ habentem figuram effictam spinæ:
Sic mẽbriuororum perficiẽs alleuamẽta morborum,
Et filius hominis mortalibus exaltabitur,
Soluentis dolorẽ ad imitationem serpentinæ figuræ:
Vt ipsum quicunque receperit mentis credula lege
Vitæ viros claros reddentẽ aspiciat tranquillitatem,
Donec latæ generationis voluitur firmum æuum.
Sic enim varium dilexit mundum errantem
Altiregens, sceptritenẽs, quòd adiutorem hominum
Vnigenitũ Verbum filium dederit quadriiugo mũdo,
Vt ipsum qui receperit, versatiles mores immutans,
Fidem ad firmam voluntariam ceruicem flectens,
Vitæ cœlestis æternum in cœtum veniat,
Habitans incorruptam domum in arboribus consito (mundo,
Paradiso.
Non enim Verbum suum filium Deus pater dedit
Mundum vt iudicet ante tempus, sed lapsam
Humanam vt omnem resuscitet generationem.
Qui igitur ipsum firmi cordis placauerit lege,
Abiiciens aereis incredulam rabiem ventis,
Rectam fidem habens, non iudicatur: si verò quis vir
Humanam in carnem mente captum oculum dirigẽs,
Audax aperuerit Deo repugnans os,
Vir iudicatus est hic: quia tardè credente animo

Nondum

Οὔπω πίστιν ἔδεκτο, καὶ οὐ μετέθηκε μενοινὴν
Υἱέος ὑψίστοιο θεοῦ γενέταο πιθήσας,
Τηλυγέτου βασιλῆος ἐς οὔνομα. δυσσεβέος δὲ
Κόσμου σύγγονος ἥδε πέλει κρίσις. οὐρανόθεν γὰρ
Εἰς χθόνα φέγγος ἵκανε· καὶ ἀσταθέων γένος ἀνδρῶν
Φέγγεος ἀστράπτοντος ἐφίλατο μᾶλλον ὁμίχλην.
Καὶ φάος οὐ ποθέουσιν ὅσον ζόφον. ἔργα γὰρ αὐτῶν
Λοξὰ πέλει· καὶ πᾶς τις ἀνὴρ ἀθεμίστια ῥέζων,
Ἄξια νυκτὸς ἔχων, στυγέει φάος, οὔποτε βαίνει
Εἰς φάος ἀγχικέλευθος, ὅπως μὴ φέγγος ἐλέγξῃ
Ἔργα, τάπερ τελέει κρυφίῃ κεκαλυμμένα σιγῇ.
Ὃς δὲ θεουδείησιν ἐπήτυμα πάντα φυλάσσει,
Ἵξεται αὐτοκέλευστος ὅπῃ φάος, ὄφρα φανείη
Ἔργα, τάπερ ποίησε θεοῦ τετελεσμένα βουλῇ.
Ἔννεπε, καὶ μετέπειτα πέδον Γαλιλαῖον ἐάσας,
Ἁγνὸν Ἰουδαίων ὑπεδύσατο κόλπον ἀρούρης.
Καὶ θεὸς αὐτόθι μίμνε σὺν ἀντιθέοισι μαθηταῖς,
Ναιετάων ὀθνεῖον ἐναύλιον. ἀγχιπόρου δὲ
Γαίης αἰόλα φῦλα σοφῷ βαπτίζετο ῥείθρῳ,
Σμήχων ἀνδρομέης κραδίης ῥύπον. ἠδὲ καὶ αὐτὸς
Θεῖος Ἰωάννης θεοπειθέα λαὸν ἀλήτην
Ὕδατι βαπτίζων βαθυκύμονος ἔγγυθι Σαλήμ.
Κεῖθι γὰρ εὐρυπόροιο κυλινδομένου ποταμοῖο
Χεύμασιν ἀενάοις κυμαίνεται ἄφθονον ὕδωρ
Ἄρκιον εἰν ἑνὶ πᾶσιν. ἐκυκλώσαντο δὲ λαοὶ
Εὐσεβίης ἕνα φῶτα, καὶ ὀψινόῳ μετανοίῃ
Ἀμπλακίας νίπτοντες, ἐφαιδρύνοντο ῥεέθροις.
Οὔπω γὰρ διὰ λέκτρον ἀμερσιγάμου βασιλῆος
Οἶκον ἀειφρούρητον ἐδύσατο πομπὸν ὀλέθρου
Θεῖος ἀνὴρ βαρύδεσμος. Ἔρις δέ τις ἀμφὶ καθαρμοῦ

Ἔπλετο



Nondum fidem ſuſcepit, & non tranſmutauit ſententiam,
Filii altiſſimi Dei patris credens
Vnicè dilecti regis in nomen. impii autem
Mundi congenitum hoc eſt iudicium. cœlitus enim
In terrã lumen venit: & inſtabilium genus hominum
Lumine fulgente dilexit magis caliginem,
Et lumen non deſiderant quantum tenebras. opera enim ipſorum
Curua erant: & quicunque vir nefaria faciens
Digna nocte habens, odit lumen, nec vnquam venit
In lucem vicinam, ne lumen redarguat
Opera quæ facit occulto tecta ſilentio.
Qui verò pietate vera omnia cuſtodit,
Veniet ſponte vbi lumen, vt manifeſtentur
Opera quæ fecit Dei perfecta voluntate.
Dixit, & deinceps campo Galilæo relicto
Sanctum Iudæorum ſubiit ſinum terræ,
Et Deus ibi manſit cum diuinis diſcipulis,
Habitans alienum domicilium: propinquæ verò
Terræ varias tribus ſapienti baptizabat fluxu,
Abſtergens ab humano corde ſordes. erat autẽ & ipſe
Diuinus Ioannes Deo credentem populum errantem
Aqua baptizans, profundi fluxus iuxta Salem.
Ibi enim vadoſi voluti fluminis
Fluxibus perpetuis fluctuabat larga aqua,
Sufficiens vna omnibus. circumdedit autem populus
Pietatis vnicum virum, & ſerò ſapiente pœnitentia
Errata lauantes purificabantur fluentis.
Nondum enim propter thalamum nuptiis priuantis regis
Domum ſemper cuſtoditam ſubiit ductricem exitii
Diuinus vir grauiter vinctus. Contentio verò quædam de purificatione

Erat.

Ἔπλετο μυστιπόλοισιν Ἰωάνναο μαθηταῖς
Ἑβραίου μετὰ φωτός. ἐπειγομένῳ δὲ πεδί-
λῳ
Ἤλυθον ἐς ἀνέρα θεῖον· ἐμειλίξαντο δὲ μύθῳ,
Λεπτοφυεῖ λασίῳ πεπυκασμένον ἄνδρα χιτῶνι,
Ῥαββὶν, ἀλεξικάκων ὑδάτων πρωτόθρονε κῆρυξ,
Ὅστις ἔην μετὰ σεῖο πέρην ποταμοῖο ῥοάων,
Ὃν σὺ θεοῦ γεγαῶτα σοφῷ πιστώσαο μύθῳ,
Οὗτος ἔχων μίμημα τεοῦ καθαροῖο λοετροῦ,
Βαπτίζει πολὺ μᾶλλον. ὁμοζήλῳ δὲ μενοινῇ
Συμμιγέες νεφεληδὸν ὅλοι σπεύδουσι πολῖται,
Ἱέμενοι κείνοιο τυχεῖν θείοιο λοετροῦ.
Καί σφιν ἀμειβομένοισιν ἐτήτυμος ἔννεπεν ἀνήρ,
Οὐδὲν ἑλεῖν δύναταί τις ἐπουρανίων ἀπὸ κόλπων,
Εἰ μὴ τοῦτο γέρας θεόθεν κεχαρισμένον εἴη.
Ὑμεῖς μάρτυρές ἐστε δαήμονες, ὁππότε λαοῖς
Ἀμφαδίην ἀγόρευον ἐμὴν ἀψευδέα φωνήν,
Χριστὸς ἄναξ οὐκ εἰμὶ, βιοσσόος, ἀλλά με κείνου
Ὑψιμέδων προέηκε θεὸς πομπῆα κελεύθου.
Νύμφην ὅστις ἔχει, πέλε νυμφίος· ἀγχιφανὴς δὲ
Κείνου φθεγγομένοιο, καὶ ἱστάμενος, καὶ ἀκούων,
Οὔασι θελγομένοισι δεδεγμένος ἤθαδα φωνήν,
Χάρματι πιστὸς ἑταῖρος ἀγάλλεται· ἡμετέρη δὲ
Τερπωλὴ τετέλεστο πολύλλιτος. ἀγχινεφῆ μὲν
Κεῖνον ἀεὶ χρέος ἐστὶν ἔχειν παλιναυξέα τιμήν,
Ὡς θεὸν, ἀθανάτην· ἐμὲ δὲ βροτὸν ἐστὶν ἀνάγ-
κη
Ἥσσονα μέτρα φέρειν, ὅτι μείονός εἰμι γενέ-
θλης.
Οὗτος ὃς ὑψόθεν ἦλθεν ἐπουρανίων ἀπὸ κόλπων,
Πάντων ὕψι βέβηκεν· ὁ δὲ χθονὸς αἷμα κομί-
ζων,
Φθεγγόμενος χθονὸς ἔργα, πέλει γαιήϊος ἀνήρ.
Ὃς δὲ δι' αἰθερίου θεοδέγμονος ἵκετο κόλπου,

Φθέγγεται



Erat ſacrificis Ioannis diſcipulis
Hebræis cum viris: concitato verò pede
Venerunt ad virum diuinum, demulſerúntque ſer-
mone,
Tenui hirſuta indutum virum tunica,
Salutarium aquarum primarie præco,
Qui erat tecum trans fluminis fluxus,
Quem tu ex Deo natum ſapienti confirmaſti verbo,
Hic habens imitationem tui puri lauacri,
Baptizabat multo magis, & concordi animo
Promiſcui nubis in modum omnes feſtinant ciues,
Cupientes illius conſequi diuinum lauacrum.
Et ipſis reſpondentibus verax dixit vir,
Nihil capere poteſt aliquis cœleſtibus è finibus
Niſi hoc munus diuinitus donatum fuerit.
Vos teſtes eſtis ſcientes, quando populo
Apertè dixi meam veram vocem,
Chriſtus rex non ſum, vitam ſeruans: ſed me illius
Altiregens præmiſit Deus ducem viæ.
Sponſam qui habet, eſt ſponſus: propè apparẽs verò
Ipſo loquente, & ſtans & audiens,
Auribus oblectatis recipiens conſuetam vocem,
Gaudio fidus amicus exultat. noſtra verò
Delectatio perfecta eſt valde optanda. altum enim
Illum ſemper neceſſe eſt habere recreſcentem gloriã
Tanquam Deum, immortalem: me autem hominem
eſt neceſſe
Minores menſuras ferre, quia minoris ſum genera-
tionis.
Hic qui ab alto venit cœleſtibus è finibus,
Supra omnes altè inceſſit: qui verò terræ ſanguinẽ
fert,
Loquens terræ opera, eſt terreſtris vir:
Qui verò ab æthereo Deum recipiente venit ſinu,

Φθέγγεται οὐρανόθεν τόπερ ἔκλυεν, οὐδέ τις αὐτοῦ
Μαρτυρίην ζαθέην ἐπιδέχνυται· ὃς δέ οἱ ἀνὴρ
Μάρτυρα μῦθον ἔδεκτο θεηγόρου αἰθερεῶνος,
Ἀψευδὴς βροτὸς οὗτος ἑῷ σφραγίσατο μύθῳ
Ὅττι θεὸς πέλε μοῦνος ἐτήτυμος. οὐρανόθεν γὰρ
Οὗτος ὃν εἰς χθόνα πέμψε θεὸς χραισμήτορα κόσμου,
Πατρῴης σοφίης αὐτόσσυτον ὄμβρον ἰάλλει.
Οὐ γὰρ μέτρα λόγοις φέρει λόγος, ἀλλά οἱ αἰεὶ
Μούνῳ πνεῦμα δίδωσιν ἀειλιβέος ῥόον ὀμφῆς.
Ὑψιμέδων δ' ἑὸν υἷα θεὸς γενέτης ἀγαπάζει,
Καί οἱ πάντα φέρειν παλάμῃ πόρεν. ὃς δέ κεν εἴη
Ἤθεσιν ἀπλανέεσσιν ἀκαμπέα πίστιν ἀέξων,
Ζωὴν ὄψεται οὗτος, ἔχων ὑψίνοον τιμήν,
Σύγχρονον αἰῶνος παλιναύξεος. ὃς δέ κεν ἀνὴρ
Παιδὶ θεοῦ ζώοντος ἀγηνορέων ἀπιθήσῃ,
Ἔρχεται ὑψίστοιο θεοῦ τιμήορος ὀργὴ,
Ἄφρονα μαστίζουσα. Καὶ ὁππότε κοίρανος ἔγνω Κεφ. δ.
Ὅττι θεοπνεύστων βαρυκάρδιος ἀμφὶ λοετρῶν
Δύσμαχος ἑσμὸς ἄκουσε βαρυζήλων Φαρισαίων,
Ἰησοῦς ὅτι φῶτας ἀλήμονας εἰς φάος ἕλκων,
Ὕδατι βαπτίζει, καὶ πλείονας ἔσχε μαθητὰς
Ἤπερ Ἰωάννης (καὶ ἐτήτυμος οὐ πέλε φήμη.
Οὐ γὰρ ἄναξ βάπτιζεν ἐν ὕδασιν, ἀλλὰ μαθηταί)
Κάλλιπεν ὑψιθέμεθλον Ἰουδαίων πέδον ἀνδρῶν,
Καὶ πάλιν ἐς πέδον ἦλθε φιλοστόργων Γαλιλαίων,
Φεύγων λύσσαν ἄπιστον ἀκηλήτων Φαρισαίων.
Καί μιν ἔτι χρέος εἷλε δι' εὐύδρου Σαμαρείης,
Γαίης μεσσατίης ὁμοτέρμονα πέζαν ὁδεύειν·





Loquitur cœlitus quod audiuit, neque aliquis ipsius
Testimonium diuinum recipit: qui verò vir
Testificantem sermonem suscepit deiloquioris,
Verax homo hic suo obsignauit verbo
Quòd Deus est solus verus. cœlitus enim
Hic quē in terram misit Deus opitulatorem mundi,
Paternæ sapientiæ per se motum imbrem tribuit.
Non enim mensuram sapientiæ fert Verbum, sed ei semper
Soli spiritus dat perennis fluxum vocis.
Altiregens sanè suum filium Deus pater diligit,
Et ei omnia ferre manu dedit. quicunque ergo fuerit
Moribus non errantibus firmam fidem augens,
Vitam videbit hic, habens sublimem honorem
Coæuum seculo recrescenti: qui verò vir
Filio Dei viui superbiens non crediderit,
Venit altissimi Dei vltrix ira
Insipientem crucians. Et quum dominus cognouit Cap. IIII.
Diuinitus inspiratis vecordem de lauacris
Præfractum cœtum audisse inuidorum Pharisæorum,
Iesus quòd viros errantes in lucem trahens
Aqua baptizaret, & plures haberet discipulos
Quàm Ioannes (& vera non erat fama:
Non enim Rex baptizabat aqua, sed discipuli)
Reliquit alta habens fundamenta Iudæorum solum virorum,
Et rursus in campum venit beneuolorum Galilæorũ.
Fugiens rabiem incredulam intractabilium Pharisæorum.
Et ipsum insuper necessitas cepit per aquosam Samariam,
Terræ mediæ conterminam regionem ambulare:

Καὶ ποδὸς ἀμβροσίοιο μεσημβρινὸν ἴχνος ἐπείγων,
Ἐς πόλιν ἀρχαίην Σαμαρείτιδος ἵκετο γαίης,
Σιχὰρ ἐς αἰπύδμητον, ὅπῃ φυτοεργὸς Ἰακὼβ
Ἀμπελόεν πέδον εἶχε, καὶ υἱέϊ δῶκεν Ἰωσήφ,
Πηγὴ ὅπῃ βαθύκολπος, ὅθεν ποτὲ θεῖος Ἰα-
κὼβ
Ῥήξας ὑγρὰ θέμεθλα πεδοσκαφέων κενεώνων,
Φρείατος ἰλυόεντος ἀνήγαγε νέρτερον ὕδωρ.
Κεῖθι δὲ, τηλεπόροιο πεπαυμένος ἀτραπιτοῖο
Χριστὸς, ὁδοιπορίῃσι καμὼν, ἀμπαύσατο μόχθου,
Ἑζόμενος παρὰ πέζαν, ὅπῃ χθονίου διὰ κόλπου
Ὑγρὸν ὕδωρ ναέτῃσιν ἀγχίπολις ἔβλυε πη-
γή.
Ἕκτη δὲ προρέουσα διέτρεχε δίψιος ὥρη,
Ἔνθα γυνὴ Σαμαρεῖτις ἀειρομένην διὰ κόλπου
Ἠθάδα κάλπιν ἔχουσα, μετήϊε γείτονα πηγήν.
Καί μιν ἄναξ ὑδάτων ἀπὸ κάλπιδος ᾔτεεν ὕδωρ,
Δεῦρο γύναι Σαμαρεῖτι, τεῆς ὀπιβήτορι πάτρης
Δός μοι διψαλέοντι πιεῖν ξεινήϊον ὕδωρ.
Ἕζετο γὰρ τότε μοῦνος, ἐπεὶ μεσάτῃ παρὰ νύσσῃ
Οὐρανὸν ἱππεύουσαν ἰδὼν ὀπιδόρπιον ὥρην,
Εἰς πόλιν ἀγχικέλευθον ἀνήϊεν ἐσμὸς ἑταίρων.
Εἰρομένη δ᾽ ἀγόρευε γυνὴ φιλοπευθέϊ μύθῳ,
Πῶς παρὰ θηλυτέρης Σαμαρείτιδος ἴδμονι φωνῇ
Ἐκ παλάμης ἀφύλακτος, ἀήθεος, ᾔτεες ὕδωρ,
Πάτριον Ἑβραίων πεφυλαγμένον αἷμα κομίζων;
Ποῖον ξυνὸν ἔην Σαμαρείτιδι καὶ σέο φύτλῃ,
Ὄφρα πίῃς παρ᾽ ἐμεῖο; καὶ εἰ σέο θεσμὸς ἐρύκει,
Ἀδομένοις στομάτεσσιν Ἰουδαῖόν σε καλέσσω.
Οὐ γὰρ Ἰουδαῖοι μιγάδες ξυνήονι θεσμῷ
Ἐς βίον ἀλλήλοισιν ὁμίλεον, ἢ Σαμαρείταις.
Καί οἱ Χριστὸς ἔειπεν ἀσημάντῳ τινὶ μύθῳ,
Εἰ μάθες ὑψίστοιο θεοῦ χάριν, εἰ δόσιν ἔγνως,
Καὶ τίς ἔην ὃς ἔειπεν, Ἐπιχθονίης ἀπὸ πηγῆς

Δός μοι



Et pedis diuini meridianum veſtigium vrgens,
In ciuitatem veterem Samaritanæ venit terræ,
Sichar in altè extructam: vbi plantator Iacob
Vinetum habebat, & filio dedit Ioſeph,
Fons vbi profundi ſinus, vnde quondam diuinus
Iacob
Ruptis humidis fundamentis depreſſarum cauitatũ
Putei limoſi eduxit profundam aquam.
Ibi verò à longinqua quieſcens via
Chriſtus itineribus feſſus, quieuit à labore,
Sedens iuxta regionem, vbi terreſtrem per ſinum
Humidam aquam ciuibus vrbi vicinus ſcaturiebat
fons.
Sexta verò velox percurrit ſitibunda hora,
Vbi mulier Samaritana ſublatam in ſinu
Conſuetam ſitulam habens, acceſſit vicinum fontẽ,
Et ab ipſa rex aquarum è ſitula petebat aquam,
Age mulier Samaritana, tuam qui adii patriam,
Da mihi ſitienti bibere hoſpitalem aquam.
Sedebat enim tunc ſolus. nam meridianam ad lineam
Cœlum circumgradiens videns cibandi tempus
In ciuitatem vicinam aſcendit cœtus ſociorum.
Interrogans autem dixit mulier ſciſcitante verbo,
Quomodo à muliere Samaritana ſciente voce
E manu incautus inconſueta poſtulaſti aquam,
Patrium Hebræorum vitatum ſanguinem ferens?
Quæ ſocietas eſt Samaritanæ & tuo generi,
Vt bibas à me? &, ſi tua lex prohibet,
Celebrato ore Iudæum te vocabo.
Non enim Iudæi aliis mixti communi lege
In victu inuicem conuerſabantur & Samaritani.
Et ei Chriſtus dixit obſcuro quodam ſermone,
Si noſſes altiſſimi Dei gratiam, ſi donum ſcires,
Et quis eſſet qui dixit, Terreſtri ex fonte

Δός μοι δίψαν ἔχοντι πιεῖν μινυώριον ὕδωρ,
Αὐτὴ προφρονέως αἰώνιον ᾔτεες αὐτὸν
Ζωὸν ὕδωρ, καὶ τοῦτο σοφὸν ποτὸν εἶχεν ὀ-
πάσσαι.
Εἶπε δὲ μὴ νοέουσα γυνὴ φυσίζοον ὕδωρ,
Ὦ ἄνα, θάμβος ἔχει με. σὺ γὰρ τροχοειδέϊ
κύκλῳ
Οὐ κάδον ἑλκυστῆρα φέρεις, οὐ σχοῖνον ἀείρεις,
Ὄφρα βυθῷ χαλάσειας ὑποβρυχίων ἀπὸ κόλπων,
Χερσὶν ἀμοιβαίῃσιν ἄγων μεταναστιον ὕδωρ·
Καὶ φρέαρ ἐστὶ βάθιστον· ἀπὸ χθονίοιο δὲ κόλπου
Τοῦτο πόθεν ζείδωρον ἀφυσσόμενος ξένον ὕδωρ,
Αὐτὸς ἔχεις ποτὸν ἄλλο; μὴ ἀρσενόπαιδος Ἰα-
κὼβ
Μείζων ἡμετέροιο πέλεις ζαθέοιο τοκῆος;
Ὃς φρέαρ ὤπασε τοῦτο γέρας Σαμαρείτιδι γαίῃ,
Καὶ πίεν ἐξ αὐτοῖο πεδοτρεφὲς ὅρκιον ὕ-
δωρ,
Αὐτὸς ὁμοῦ καὶ παῖδες, ὀρεσσινόμων τε γενέθλη,
Τετραπόδων τε φάλαγγες; Ἀνεγρομένην δὲ γυ-
ναῖκα
Ἰησοῦς ἐδίδαξεν, ἀπ' ἀχλύος εἰς φάος ἕλκων,
Ὃς πίεται χθονίων λαγόνων μινυώριον ὕ-
δωρ
Πίδακος, ἢ γλυκὺ νᾶμα χαμαιγενέος ποταμοῖο,
Διψήσει πάλιν ῥόος· ἐγὼ δέ οἱ ἐγγυαλίξω,
Οὔποτε διψήσει πιὼν αἰώνιον ὕδωρ,
Ἀλλά οἱ ἐν πραπίδεσσι μενεῖ ῥόος ἔμφρονι παλμῷ,
Ἁλλόμενον νοεροῖο βυθοῦ θεοδαιδαλέϊ ῥιπῇ
Πηγῆς ἐνδομύχοιο παλιμφυὲς ἔμπεδον ὕδωρ,
Ζωῆς ἀενάοιο, καὶ οὐ χθονίου ποταμοῖο.
Ἰησοῦν δ' ἱκέτευε γυνὴ πειθήμονι φωνῇ,
Δός μοι κοίρανε τοῦτο πιεῖν βιοτήσιον ὕδωρ,
Πίδακος εὐδαίης ἀλλότριον, ὄφρα πιοῦσα,

Μήποτε



Da mihi sitienti bibere temporalem aquam,
Ipsa prompto animo æternam petiisses ab ipso
Viuam aquam, & hunc sapientem potum posset præ-
bere.
Dixit autem non intelligens mulier viuificantem a-
quam,
O Rex, stupor tenet me. tu enim rotundo circulo
Non cadum haustrum fers, non funem tollis,
Vt in profundum demittas, subriguis è sinibus
Manibus alternantibus ducens alienam aquam:
Et puteus est profundissimus. ex terrestri autem sinu
Hanc vnde vitalem hauriens peregrinam aquam:
Ipse habes potum alium? num mares filios habente
Iacob
Maior nostro es diuino patre?
Qui puteum præbuit hunc munus Samaritanæ terræ,
Et bibit ex ipso in solo nutritam fœdere sancitam a-
quam
Ipse, simul & liberi & montanorum generatio,
Quadrupedúmque greges? Excitatam autem mu-
lierem
Iesus docuit, ex caligine in lucem trahens,
Qui bibit ex terrestrium cauitatum temporalem a-
quam
Scaturiginis, vel dulcem aquam humilis fluuii,
Sitiet rursus: quam verò ei præbuero
Nunquam sitiet bibens cœlestem aquam:
Sed ei in præcordiis manebit fluxus prudenti saltu
Saliens intelligentis profunditatis diuino impetu
Fontis intus latentis rursus nascens firma aqua,
Vitæ æternæ, & non terrestris fluminis.
Iesum autem rogauit mulier credula voce,
Da mihi domine hanc ad bibendum vitalem aquam,
A scaturigine terrestri diuersam, vt bibens

Μήποτε διψήσω, καὶ μηκέτι δεῦρο ἀφίκω,
Ἐκ βυθίων λαγόνων ἀφύειν βεβιημένον ὕ-
δωρ.
Εἶπε, καὶ ἀγκυλόμητιν ἀμοιβαίῳ τινὶ μύθῳ
Ἰησοῦς πολύανδρον ἐπειρήτιζε γυναῖκα,
Ἔρχεο, καὶ κίκλησκε τεὸν πόσιν. ἐκ πόλιος δὲ
Σπεῦδε ποσὶν ταχινοῖσι τὸ δεύτερον ἐνθάδε βαίνειν.
Εἶπε· καὶ ἀγνώσσουσα πολυσπερέων περὶ λέκτρων,
Ψευδομένη Σαμαρεῖτις ἐτήτυμον ἴαχε φωνήν,
Ἣ πόσιν οὐ μεθέπουσα, πόθεν πόσιν εἰς σὲ κα-
λέσσω;
Οὐ γὰρ ἔχω φίλον ἄνδρα. Θεὸς δ' ἤλεγξε γυ-
ναῖκα,
Οἶδα γύναι μετὰ πέντε νόθον τεὸν ἕκτον ἀκοί-
την.
Πέντε γὰρ ἔλλαχες ἄνδρας, ἀμοιβαδὸν ἄλλον ἐπ'
ἄλλῳ·
Καὶ νῦν ὃν μεθέπεις, οὐ γνήσιος ἐστὶν ἀκοίτης·
Τοῦτό μοι ἀτρεκέως μυθήσαο. Θαμβαλέη δὲ
Οὐτιδανὴ Σαμαρεῖτις ἀμείβετο θήλεϊ φωνῇ,
Κοίρανε, γινώσκω σε θεηγόρον ἄνδρα προφήτην.
Ἡμείων δ' ἀνιόντες ἐς οὔρεα ταῦτα τοκῆες,
Αὐχένα δοχμώσαντο πολυκνίσσῳ παρὰ πέτρῃ,
Καὶ θεὸν εὐαγέεσσιν ἐμειλίξαντο θυηλαῖς.
Ὑμεῖς δ' ἄρμενον ἄλλον ὑπὸ κλέπας Ἱεροσολύ-
μων
Χῶρον ἐμυθήσασθε, μεμηλότα θέσπιδι βουλῇ,
Ἧχι θεῷ χρέος ἐστὶ θεοδμήτῳ παρὰ βωμῷ
Μάρτυρον ἱκεσίης κυρτούμενον αὐχένα κάμπτειν,
Κύμβαχον ὀκλάζοντας. Ἄναξ δ' ἠμείβετο μύθῳ,
Πείθεό μευ Σαμαρεῖτι γύναι νημερτέϊ μύθῳ,
Ὅττι νέου βιότοιο διάκτορος ἔρχεται ὥρη,
Εὐσεβίης ὀχετηγὸς, ὅτ' οὐκέτι μυστίδι τέχνῃ
Οὔρεος ὑμετέροιο θεοκλήτῳ παρὰ βωμῷ,

Οὐδὲ



Nunquam ſitiam, & non amplius huc veniam
Ex profundis cauitatibus haurire coactam aquam.
Dixit, & verſutam reſponſiuo quodam ſermone
Ieſus multos viros habentem tentauit mulierem,
Veni & voca tuum maritum: ex ciuitate autem
Feſtina pedibus celeribus huc venire.
Dixit, & ignorans multi feminis de thalamis
Mentiens Samaritana veram ſonuit vocem,
Quæ maritum non habeo, vnde maritum ad te vo-
cabo?
Non enim habeo charum virum. Deus autem redar-
guit mulierem,
Noui mulier poſt quinque ſpurium tuum ſextum ma-
ritum.
Quinque enim habuiſti viros, alternatim vnum poſt
alium:
Et nunc quem habes, non legitimus eſt maritus,
Hoc mihi verè dixiſti. Stupens verò
Vilis Samaritana reſpondit muliebri voce,
Domine, cognoſco te deiloquum virum prophetam,
Noſtri quidem aſcendentes in montes hoſce patres
Ceruicē flexerunt multum fumantem apud petram,
Et Deum puris placarunt ſacrificiis:
Vos verò congruentem alium ſub cacumine Hiero-
ſolymorum
Locum dixiſtis, curæ exiſtentem diuinæ voluntati,
Vbi Deo neceſſe ſit diuiuitus extructam apud aram,
Teſtem ſupplicationis curuatam ceruicem flectere,
Prono capite procumbentes. Rex autem reſpondit
ſermone,
Crede meo Samaritana mulier infallibili verbo,
Quòd nouæ vitæ miniſtrans venit hora,
Pietatis deductrix, quādo non amplius myſtica arte
Montis veſtri diuinam apud aram,

Neque

Οὐδὲ ταινυσκοπέλων ὑπὸ τέμπεσιν Ἱεροσολύμων
Αἵματι ταυρείῳ κεραελκέα ῥέξετε λοιβὴν,
Ἱκέσιον κλίνοντες ἐρειδόμενον γόνυ πέτρῃ.
Ὑμεῖς μὲν κραδίης σφαλερῆς ἑτεραλκέϊ θεσμῷ,
Ὃν φρεσὶν οὐκ ἐδάητε, γεραίρετε μοῦνον ἀκουῇ,
Μιμηλὴν τελέοντες ἀληθέος εἰκόνα μύθου·
Ἡμεῖς δ᾽ εὐαγέεσσιν ἀνάπτομεν ὄργια βωμοῖς,
Μυστιπόλῳ τόγαρ ἴσμεν αἰδυάζοντες ἰωῇ,
Καὶ θεὸν αὐτογένεθλον ἀείδομεν ἔμφρονι μύθῳ.
Ἀλλὰ σοφαῖς τελετῇσι θυηπόλος ἔρχεται ὥρη,
Καὶ νῦν ἄγχι βέβηκεν, ἀληθέες ὁππότε μύσται
Ξυνὸν ὑποκλινέουσι λιτήσιον αὐχένα γαίῃ,
Αὐχένα δοχμωθέντα καθελκομένοιο καρήνου
Πάντες ἀληθείῃ καὶ πνεύματι. μυστιπόλους γὰρ
Τοίους ὑψιμέδων ἐθέλει θεὸς, οἵτινες αὐτῷ
Ἀκροπαγῆ κάμπτουσι συνήορα γούνατα γαίῃ,
Πνεύματι θεσπεσίῳ, καὶ ἀληθέϊ μάρτυρι φωνῇ,
Ἐν δαπέδῳ πρηνηδὸν ἐρειδομένοιο προσώπου.
Πνεῦμα θεὸς νημερτὴς, ὅθεν χρόνος ἀνέρας ἕλκει,
Ἀτρεκίην καὶ πνεῦμα μιῇ κεράσαντας ἐρωῇ,
Ἀενάου κόσμοιο θεὸν γενετῆρα γεραίρειν.
Εἶπε· καὶ ἀγνώσσουσα γυνὴ, μαντώδεϊ φωνῇ
Χριστῷ Χριστὸν ἔλεξεν· ἀοσσητῆρα δὲ κόσμου
Ὀψὲ μολεῖν ἀγόρευε, τὸν ἐγγύθεν εἶχε μολόντα.
Κοίρανε, θεσμοφόρων πατέρων ἐδάημεν ἀκουῇ,
Μεσσίας ὅτι θεῖος ἐλεύσεται, ὅν τινα λαοὶ
Χριστὸν ἐφημίξαντο· καὶ ὁππότε κεῖνος ἱκάνῃ,
Ἡμέας ἀγνώσσοντας ἐτήτυμα πάντα διδάξει.
Εἶπε γυνή· καὶ Χριστὸς ἀμείβετο μάρτυρι μύθῳ,
Δάκτυλον αὐτοβόητον ἀναυδέϊ ῥινὶ πελάσσας,

Χριστὸς



Neque latorum ſcopulorum ſub tempe Hieroſolymorum
Sanguine taurino cornibus tractam facietis libationem,
Supplex inclinantes ſuffultum genu ad petram.
Vos quidem cordis errantis diuerſa lege,
Quem mente non ſciuiſtis, honoratis tantùm auditione,
Imitatricem perficientes veri imaginem ſermonis:
Nos verò puris accendimus myſteria aris,
Sacrifica quod ſcimus ouantes voce,
Et Deũ per ſe genitum celebramus prudẽti ſermone.
Sed ſapientibus feſtis ſacrificans venit hora,
Et nunc propè acceſſit, veri quando myſteriorum periti
Sociam inclinabunt ſupplicantem ceruicem terræ,
Ceruicem flexam deorſum tracto capite
Omnes veritate & ſpiritu. ſacrificos enim
Tales altiregens vult Deus, qui ipſi
Per ſumma fixa flectunt ſocia genua in terram,
Spiritu diuino, & veritatem teſtificante voce,
In pauimento deorſum fulcita facie.
Spiritus [eſt] Deus verax, vnde tempus viros trahit,
Veritatem & ſpiritum vno miſcentes deſiderio,
Æterni mundi Deum patrem vt honorent.
Dixit: & ignorans mulier, vatidica voce
Chriſto de Chriſto dixit: adiutorem autem mundi
Serò venturum dixit, quem propè habebat accedentem.
Domine, legiferorum patrum ſcimus auditione
Meſſias quòd diuinus veniet, quem populus
Chriſtum vocat: & quum ille venerit,
Nos ignaros vera omnia docebit.
Dixit mulier. Et Chriſtus reſpõdit teſtificãte verbo,
Digitum vocalem muto naſo adiungens,

Chriſtus

Χριστὸς ὁ σοὶ λαλέων αὐτὸς πέλω· ἀγχιφανῆ δὲ
Ὄμμασι παπταίνεις με, τὸν οὔασιν αἰὲν ἀκούεις,
Χριστὸς ἐγὼ γενόμην, οὐ δεύτερος ἄλλος ἱκάνει.
Οὐδέ μιν εἴρετο Πέτρος, ἅτε θρασύς· οὐδέ τις αὐτὸν
Τολμήσας ἐρέεινε, Τί δίζεται; ἢ τί μετ᾽ αὐτῆς
Φθέγγεται; Ὠκυτέρῳ δὲ διαστείχουσα πεδίλῳ,
Κάλπιν ἀποτρέψασα γυνὴ θεοδέγμονι πηγῇ,
Εἰς πόλιν ἴχνος ἔκαμψε, καὶ ἔννεπε πᾶσι πολίταις,
Δεῦτε καὶ ἀθρήσητε θεοπρέπον ἄνδρα προφήτην,
Ὅστις ἐμοὶ φάτο πάντα τάπερ κάμον. ἦ ῥά νυ Δαβὶδ
Οὗτος ἀριστογόνοιο βοώμενος υἱὸς ἱκάνει;
Ἀγγελίην δ᾽ ἀΐοντες ὁμόζυγες Σαμαρεῖται,
Σύμφερτον ταχύγουνον ἐπεστεύοντο πορείην,
Ἐκ πόλιος στείχοντες ἐς ἀγχιθέου στόμα πηγῆς,
Εἰς θεὸν οἰστρηθέντες ἑνὶ φρενοθελγέϊ μύθῳ.
Ἔνθα χρόνου μεσσηγὺ, πρὶν ἄστεος ἔκτοθι βαίνειν,
Στεινομένων νεφεληδὸν ἐπήτριμα κύματα λαῶν,
Χριστὸν ἐκυκλώσαντο, καὶ ἐφθέγξαντο μαθηταὶ
Ῥαββὶν, δέχνυσο ταῦτα, καὶ ἔσθιε· κινυμένης δὲ
Χειρὸς ἀφωνήτοιο νοήμονι μάρτυρι σιγῇ,
Δαῖτα μινυνθαδίην ἀπεπείσατο, ταῦτα βοήσας,
Ἄλλην δαῖτα φέρω βιοτήσιον, ἣν ἐνὶ μύθῳ
Ὑμεῖς οὐκ ἐδάητε. Καὶ ἔννεπεν ἄλλος ἐπ᾽ ἄλλῳ,
Ἦ ῥά οἱ ἄλλο ὄπασσε φαγεῖν ἐπιδήμιος ἀνήρ;
Φιλοπάτωρ δ᾽ ἀγόρευεν ἄναξ ἑτερόφρονι μύθῳ,
Εἶδαρ ἐμὸν πέλε μῦθος· ἐμὸν ποτὸν, ἔργα τοκῆος·
Εἶδαρ ἐμὸν πέλε μοῦνον ὅπως ἄτρεπτον ἐέλδωρ
Πατρὸς ἐμοῦ τελέοιμι, καὶ ἔνθεον ἔργον ἀνύσσω.
Ὑμεῖς οὐ τόδε πάντες ἑνὶ ξυνώσατε μύθῳ
Ἴδμονες ὡράων, ὅτι λείπεται εἰσέτι μούνη

Μηνῶν



Christus tibi loquens ipse sum: propinquum verò
Oculis intueris me quem auribus semper audis,
Christus ego sum, non secundus alius venit.
Neque ipsum interrogauit Petrus, etsi audax, neque quis ipsum
Ausus interrogauit, Quid quærit? aut cur cum ipsa
Loquitur? celeri autem incedens pede
Situlam committens mulier Deum recipienti puteo
In ciuitatem vestigium flexit, & dixit omnibus ciuibus,
Venite & videte vatem virum prophetam
Qui mihi dixit omnia quæ feci: num Dauid
Hic optimæ prolis parentis vocatus filius venit?
Nuncium autem audientes compares Samaritani
Coniunctim velocem aggrediebantur viam,
Ex ciuitate incedentes ad diuini aditum fontis,
Ad Deum stimulo conciti, vno mentem demulcente sermone.
Tunc tempore intermedio, antequam extra ciuitatẽ venirent
Arctantium nubium instar densi fluctus hominum,
Christum circũdederunt, & alloquuti sunt discipuli,
Rabbi, sume hæc & comede. motæ autem
Manus mutæ intelligente testificante silentio
Cibum temporalem remouit, hæc dicens,
Alium cibum fero vitalem, quem sermone
Vos nescitis. Et dixit alius ad alium,
Nũ ei aliud præbuit ad comedendum peregrinus vir?
Patris amator autem dixit Rex aliter sentiẽte verbo,
Cibus meus est verbum: meus potus, opera patris:
Cibus meus est solùm vt immutabile desiderium
Patris mei faciam, & diuinum opus perficiam:
Vos nónne hoc omnes vno communicatis sermone
Periti temporum, quòd deficit adhuc sola

Mensium

Μηνῶν τετραέλικτος ἀελλήεσσα πορείη,
Καὶ θέρος ἀγλαόκαρπον ἐλεύσεται; ἠνίδε, πάντες
Εἰς πόλιν ἀντικέλευθον ἀείρατε κύκλον ὀπωπῆς,
Πῶς πόλιες λευκῇσι περιφρίσσουσιν ἀλωαῖς,
Καὶ βροτέου χατέουσιν εὐγλώσσοιο θερισμοῦ,
Πῶς στάχυες θαλέθουσιν ἐχέφρονες. εἰ δέ τις ἀνὴρ
Χείλεσιν, οὐ παλάμῃσιν, ἀειράζων λάλον ἅρπην,
Γείτονος ἀμήσειε θεουδέα λήϊα γαίης,
Μισθὸν ἔχει· καὶ πατρὶ θεῷ ζώοντα φυλάσσων,
Εἰς χρόνον οὐ λήγοντα, νοήμονα καρπὸν ἀγεί-
ρει·
Ὄφρα κεν ὁ σπείρων, καὶ ὁ λήϊα θέσκελα κείρων,
Χαίρῃ ὁμοῦ, καὶ πιστὰ θαλύσια πατρὶ τελέσθω,
Εὐσεβίης ἀροτῆρα καὶ ἀμητῆρα γεραίρων.
Ἔνθεν ἔην ὅδε μῦθος ἐτήτυμος, οὕνεκεν ἀνὴρ
Ἄλλος ἀροτρεύει σπόρον ὄμπνιον αὔλακι νείφων,
Καὶ στάχυν ἀμήσει στεφανηφόρος ἄλλος ἀλωεύς.
Ἄλλοι μὲν μογέεσκον ἀλωέες αὔλακι φωνῆς,
Καρπὸν ἕως ἔσπειραν. ἀποστέλλω δὲ καμόντων
Ὑμέας ἀκαμάτους ἀλλότριον εἰς πόνον ἀνδρῶν,
Ἀμῆσαι στομάτεσσιν ἑτοιμοτάτων στίχα καρπῶν,
Λήϊον οὐ σπείραντας, ἢ ἀρδεύσαντας ἀλωήν.
Πολλοὶ μὲν ναέται ταχυπειθέα λαὸν ἀλήτην
Πίστιος ἀρραγέεσσιν ἐπυργώσαντο θεμέθλοις,
Μαρτυρίην ἀΐοντες ἐγερσινόοιο γυναικὸς
Φθεγγομένης ὅτι Πάντα τάπερ κάμον εἶπε προφήτης.
Ἀλλ' ὅτε οἱ σχεδὸν ἦλθον ὁμοφραδέες Σαμαρεῖται,
Χριστὸν ἐγουνάζοντο φιλοστόργῳ τινὶ μύ-
θῳ,
Αὐτόθι μιμνέμεν· καὶ παῦσεν ἄναξ παρὰ γείτονι πηγῇ,
Καὶ ταχὺς εἰς πόλιν ἦλθεν ὁμόστολον οἶμον ὁδεύων.
Καὶ θεὸς αὐτόθι μίμνεν, ἕως δρόμος ἄλλος ἐπ' ἄλλῳ
Ὀξείῃ στροφάλιγγι παρέστιχε δίζυγος ἠοῦς.
Καὶ μετὰ διπλόον ἦμαρ ἄναξ σπεύδοντι πεδίλῳ,

Οὔασι



Mensium quater circumuoluta velox via,
Et æstas splendidos fructus ferēs veniet?ec ce, omnes
Ad ciuitatem oppositam attollite circulum visus,
Quomodo ciuitates albis perhorrescunt segetibus,
Et humana indigent eloquente messe,
Quomodo spicæ florent prudentes. si verò quis vir
Labiis, non manibus, tollens loquentem falcem,
Vicinæ resecuerit pias segetes terræ,
Mercedē habet: & Deo patri viuentem custodiens,
In tempus non cessans intelligentem fructum con-
gregat:
Vt & qui seminat, & qui prata diuina secat,
Gaudeat simul & fidelia sacrificia patri faciat,
Pietatis aratorem & messorem honorans.
Hinc est ille sermo verus, quòd vir
Alius arat semen cereale in sulcos spargens,
Et spicam demetet coronam ferens alius messor.
Alii quidem laborarunt agricolæ in sulcos vocis,
Fructum donec seminarunt. mitto verò laborantium
Vos non laborantes alienum in laborem virorum,
Demetere oribus paratissimorum ordines fructuum,
Campum non seminantes, aut irrigantes segetes.
Multi quidem ciues credulum populum errantem
Fidei firmis munierunt fulciminibus,
Testimonium audientes excitantis mentē mulieris:
Dicentis quòd Omnia quæ feci dixit propheta.
Sed quū ad eum venissent consentiētes Samaritani,
Christum supplices orabant beneuolo quodam ser-
mone,
Ibi manere: & quieuit Rex apud vicinum fontem,
Et velox in ciuitatem iuit comitem viam incedens.
Et Deus ibi mansit, donec cursus alius post alium
Celeri vertigine præteriit biiugis auroræ.
Et post duplicem diem rex festinanti pede,

Auribus

Οὔασι πειθομένοισι πεπηγότα μῦθον ἐάσας,
Κεῖθεν ἔβη παλίνορσος, ἀναινομένων ναετήρων,
Καὶ πάλιν εἰς πέδον ἦλθε φιλοχρίστων Γαλι-
λαίων.
Μούνην δ' οὐκ ἐπάτησεν ἑὴν ζηλήμονα πάτρην.
Καὶ γὰρ ὁμογνήτων δεδαημένος ἤθεα φωτῶν
Μάρτυρα μῦθον ἔειπεν ἐτήτυμον, ὅττι προφή-
της
Οὐ δύναται περίπυστον ἔχειν ἐνὶ πατρίδι τιμήν.
Ἀλλ' ὅτε δὴ Γαλιλαῖον ἐς ἔδαφον ἦλθεν Ἰησοῦς,
Δὴ τότε μιν προφανέντα παλιννόστοισι κελεύθοις
Ἄσμενος ἐσμὸς ἔδεκτο θεοστόργων Γαλιλαίων,
Πάντα τάπερ ποίησεν ἐν ἔργμασιν Ἱεροσολύμων
Ὄμμασιν ἀθρήσας, ἱερῆς ὅτε κῶμον ἑορτῆς
Μητέρες εὐσεβίης θιασώδεες ἤγαγον ὧραι.
Καὶ γὰρ ἐς ἱερὸν ἦμαρ ἐπεστιχόωντο καὶ αὐτοί.
Ἰησοῦς μὲν ἵκανε, καὶ ᾤκεεν αὐτόθι μίμνων,
Ἧχι πέδον Κανανᾶον, ὅπῃ πάρος εἰς χύσιν οἴνου
Ξανθὸν ὕδωρ ποίησε, φύσιν χιονατὸν ἀμεί-
ψας.
Ἦν δέ τις ἰθύνων στρατιὴν βασιλήιος ἀνήρ,
Οὗ παῖς ἀγχιάλοιο Καφαρναοὺμ ἐνὶ δήμῳ
Κέκλιτο, νωθρὰ φέρων πεπεδημένα γούνατα νούσῳ.
Καὶ γενέτης φιλότεκνος ἴσῳ μαστίζετο πυρσῷ
Παιδὸς ἱμασσομένοιο, τάχα πλέον. ἐπεὶ ἀκούσας,
Ἔδραμεν εἰς Κανανᾶον ἐδέθλιον· ἀγχιφανὴς δὲ
Ἰησοῦν ἐρέεινεν ὅπως νέον υἷα σαώσῃ,
Ἄστεος ἀγχιπόροιο κατήλυδα πέζαν ὁδεύων.
Καί μιν ἄναξ ἐνένιπεν ἑῷ νεμεσήμονι μύθῳ,
Εἰ μὴ ἐμῆς ἐσίδητε πολύτροπα θαύματα φωνῆς,
Οὔποτέ μοι πείθεσθε. Καὶ αἰθομένου πυρετοῖο
Δάκρυσι θερμοτέροισι διάβροχος ἴαχεν ἀνήρ,
Σπεῦσον ἄναξ, κατάβηθι, πέδον Κανανᾶον ἐάσας,
Πρὶν θανέειν ἐμὸν υἷα τεῆς ἐπιδευέα φωνῆς.





Auribus credentibus infixum sermonem relinquens,
Inde abiit reuersus, renuentibus habitatoribus,
Et rursus in campum venit Christum amantium Ga-
lilæorum:
Solam verò non adiit suam æmulantem patriam.
Etenim popularium sciens mores virorum,
Testificantem sermonem dixit verum, quòd pro-
pheta
Non potest illustrem habere in patria honorem.
Sed quando sanè in Galilæum solum venit Iesus,
Tunc ipsum conspicuum reuersiua via
Auidus cœtus suscepit piorum Galilæorum:
Omnia quæ fecit intra septa Hierosolymorum
Oculis aspiciens, sacri quando celebrationem festi
Matres pietatis choragæ adduxissent horæ.
Etenim ad diem festum proficiscebantur & ipsi.
Iesus quidem venit, & habitauit ibi manens,
Vbi campus Cananæus est, vbi antea in fluorem vini
Flauam aquam mutauit, naturam niueam transmu-
tans.
Erat autem quidam regens exercitum regius vir,
Cuius filius maritimæ Capernaum in populo
Decumbebat, languida ferens ligata genua morbo.
Et pater amans sobolis æquali torquebatur flamma
Cum filio afflicto, forsan plus. hic quum audisset,
Cucurrit in Cananæum solum: propinquus verò
Iesum rogauit vt iuuenem filium seruaret,
Ciuitatis vicinæ decliuem regionem incedens.
Et ipsum Rex alloquut⁹ est suo reprehẽsiuo sermone,
Nisi meæ inspexeritis varia miracula vocis,
Nunquam mihi creditis. Et ardenti febre
Lacrymis calidioribus irrigatus sonuit vir,
Festina Rex, descende, campo Cananæo relicto,
Antequam moriatur meus filius tua indigens voce.

Καὶ μιν ἄναξ θάρσυνεν ἑῷ ζωαρκέϊ μύθῳ,
Ἔρχεο, καὶ ζώοντα καὶ ἀρτεμέοντα κιχήσεις
Τηλύγετον σέο παῖδα· παρ' ὑμετέρῃ δὲ τραπέζῃ
Ἄσμενος εἰλαπίναζε σὺν υἱέϊ δαιτυμόνι.
Εἶπεν ἄναξ· καὶ κραιπνὸς ἀνὴρ ἐπεπείθετο μύθῳ
Ἰησοῦς ὃν ἔειπε· καὶ ἔστιχεν ἐλπίδι πειθοῦς.
Καί οἱ τηλεπόροιο καταστείχοντι κελεύθου
Ἤντεον αὐχήεντες ὀπάονες· οὐδὲ μὲν ἀνὴρ
Δμῶας ἑοὺς ἐρέεινε γεγηθότας, ἐκ δὲ προσώπου
Υἱὸν ἑὸν ζώοντα σοφῇ γίγνωσκε σιωπῇ.
Καί οἱ πάντες ἔλεξαν ὁμήλυδες ἡδέϊ μύθῳ,
Ζώει σὸς, φιλότεκνε, ποδηνέμος υἱὸς ὁδίτης,
Νῦν πλέον ἢ τὸ πάροιθε σαώτερος. Αὐτὰρ ὁ χαίρων
Δμῶας ἑοὺς ἐρέεινεν ἀλεξικάκου χάριν ὥρης,
Τῇ ἔνι φαιδροτέρην βιοτήσιον ἔσχε γαλή-
νην.
Καὶ μίαν εἰν ἑνὶ πάντες ὀπάονες ἴαχον αὐδὴν,
Υἱέα σὸν λίπε νοῦσος ὅτε χθιζῇ παρὰ νύσ-
σῃ
Ἑβδομάτη τρέχουσα βιοσσόος ἔτρεχεν ὥρη.
Ἔγνω δ' αὐτοδίδακτος ἀνὴρ ὀδυνήφατον ὥ-
ρην,
Τῇ ἔνι θέσκελον εἶπεν ἄναξ ζωαρκέϊ φωνῇ,
Ἔρχεο σὸν ποτὶ δῶμα, τεὸς πάϊς ἐστὶν ἀπήμων.
Καὶ καθαραῖς πραπίδεσσιν ἀκαμπέα δέξατο
πειθὼ
Αὐτὸς, ὁμοῦ καὶ πάντες ὅσους τρέφε, μάρτυρι
μύθῳ,
Πίστιος ἀκλινέεσσιν ἐπεζεύγνυντο λεπάδναις·
Εὐσεβίης ἐς ὁδοὺς ὅλον οἶκον ἀμεμφέος ἕλκων.
Τοῦτο δὲ δεύτερον ἄλλο πάλιν ζωαρκέϊ φωνῇ,
Ἧχι πέδον Κανανᾶιον ἐν εὐπύργῳ Γαλιλαίῃ,
Ἰησοῦς κάμε θάμβος, Ἰουδαίηθεν ὁδεύσας
Εἰς πόλιν ἀγλαόπαιδα τανυπλοκάμων Γαλιλαίων,





Et ipſum Rex confirmauit ſuo vitali verbo,
Vade, & viuentem & incolumem inuenies
Dilectum tuum filium: apud veſtrã autem menſam
Libens conuiuare cum filio conuiua.
Dixit Rex: & feſtinans vir credidit ſermoni
Ieſus quem dixit: & incedebat ſpe perſuaſionis.
Et ipſi longa deſcendenti via,
Occurrerunt alacres miniſtri: neque vir
Seruos ſuos interrogauit geſtientes, ex facie autem
Filium ſuum viuentem ſapienti cognouit ſilentio.
Et ei omnes dixerunt ſimul veniẽtes iucundo verbo,
Viuit tuus, ô amans liberorum, velox filius incedens,
Nunc quàm antea ſanior. Sed ille gaudens
Famulos ſuos interrogauit ſalutari de hora
In qua alacriorem vitalem habuiſſet tranquilli-
tatem.
Et vnam ſimul omnes famuli ſonuerunt vocem,
Filium tuum reliquit morbus, quando heſternam ad
lineam
Septima veniens vitam ſeruans cucurrerat hora.
Cognouit autem per ſe doctus vir mitigatoriam
horam
In qua diuinus dixit Rex viuifica voce,
Vade tuam ad domum, tuus filius eſt incolumis.
Et puris præcordiis firmam ſuſcepit fidem
Ipſe, ſimul & omnes quoſcunque aluit, teſtificante
verbo,
Fidei firmis coniungebantur repagulis,
Pietatis in viam totam domum inculpatæ trahens.
Hoc autem ſecundum aliud rurſum viuifica voce,
Vbi campus Cananæus eſt in bene turrita Galilæa,
Ieſus fecit miraculum, ex Iudæa ambulans,
In ciuitatem claros pueros habentem crinitorum Ga-
lilæorum,

Πρεσβύτερον μετὰ θαῦμα φιλακρήτων ὑμεναίων,
Ὕδατος οἰνωθέντος ἐρευθιόωντι ῥεέθρῳ.
Ἰησοῦς δ᾽ ἀνέβαινεν ὅπη δόμος αἰθέρι γείτων Κεφ. ε.
Κιονέην ἀμάρυσσε λίθων ἑτερόχροον αἴγλην.
Ἦν δέ τις εὐποίητος ἐν εὐύδρῳ προβατικῇ,
Πέντε τανυπλεύροισιν ὑπ᾽ αἰθούσῃσι μελάθρου,
Δαιδαλέων ζωσθεῖσα λίθων ὑψαύχενι μίτρῃ
Εὐρυτενὴς ἀσάμινθος· ὅπη κεκαυμένος ἀνήρ,
Ἅλμασιν αὐτομάτοισιν ἰδὼν ὀρχούμενον ὕδωρ,
Ὁππότε κυμαίνοντι δέμας φαίδρυνε λοετρῷ,
Θερμὰ πεπαινομένης ἀπεσείσατο κύματα νούσου,
Φέρτερον ἰητῆρος ἰδὼν ὀδυνήφατον ὕδωρ.
Ἦν δέ τις ἐμπεδόμοχθος ἀνὴρ παρὰ γείτονι πηγῇ,
Τρεῖς δεκάδας δασπλῆτι παριππεύσας ἐνὶ νούσῳ,
Καὶ πάλιν ὀκτὼ κύκλα κυλινδομένων ἐνιαυτῶν.
Τοῦτον ἰδὼν ἀτίνακτον ἐθήμονι κείμενον εὐνῇ
Ἰησοῦς, ἐνόησεν ὅτι χρονίων ἐπὶ λέκτρων
Εἶχε δυσαλθήτῳ πεπεδημένα γούνατα νούσῳ.
Καί μιν ἄναξ ἐρέεινε, χέων οἰκτίρμονα φωνήν,
Ἀσκηθὴς ἐθέλεις πάλιν ἔμμεναι; Αὐτὰρ ὁ κάμνων,
Ἐκ φρενὸς ἀδρανέος βεβιημένον ἆσθμα τιταίνων,
Λεπταλέῃ μόγις εἶπεν ἀνὴρ βραδυπειθέι φωνῇ,
Κοίρανε, νουσοκόμοιο φιλοστόργοιο χατίζω.
Οὐ γὰρ ἔχω τινὰ φῶτα διάκτορον, ὄφρα κε πηγῆς
Θυιάδος αὐτοέλικτον ἰδὼν κυρτούμενον ὕδωρ,
Εἰς ἱερὴν ἀσάμινθον ἐλαφρίζων με χαλάσσῃ.
Ὄφρα μὲν ἀστήρικτον ἐμὸν πόδα νωθρὸν ἐρείσω,
Τόφρα δὲ μᾶλλον ἐμεῖο νεώτερος ὀξέϊ παλμῷ

Προφθά-



Antiquius post miraculum meri cupidarum nuptiarum,
Aquæ in vinum versæ rubicundo fluxu.
Iesus autem ascendit vbi domus ætheri vicina Cap. V.
Columnarem resplendebat lapidum varium fulgorem.
Erat autem quædam elegans ad aquosam probaticã
Quinque amplis sub porticibus domus,
Artificiosorum coniuncta lapidum altè camerato operculo
Lata piscina: vbi æstuans vir,
Saltibus spontaneis videns salientem aquam,
Quando fluctuante corpus purgasset lauacro,
Calidos concocti expulisset fluctus morbi,
Præstantiorem medico videns mitigatoriã aquam.
Erat autem quidam perpetuò laborans vir ad vicinum fontem,
Tres decades graui obequitans morbo,
Et rursus octo circulos volutorum annorum.
Hunc videns non agitatum consueto iacentẽ in lecto
Iesus, animaduertit quòd diuturnis in lectis
Haberet incurabili ligata genua morbo.
Et ipsum Rex interrogabat, fundens misericordem vocem,
Incolumis vis rursus esse? Sed laborans,
Ex præcordiis debilibus coactum anhelitum trahẽs,
Tenui vix dixit vir tardè audita voce,
Domine, ægrorum curatore beneuolo indigeo.
Non enim habeo aliquem virum ministrũ, vt fontis
Turbati per se volutam videns eleuatam aquam,
In sacram piscinam leuans me demittat.
Quum enim infirmum meum pedem languidum moueo,

Πρόσθε θέμυρος βροτὸς ἄλλος ἐλαφρότερος καταβαίνει
Α᾽φρὸν ἀερσιπότητον ἐρεύγεται ἀσαμίνθου.
Καί μιν ἄναξ θάρσυνεν ἑῇ ζωαρκέϊ φωνῇ,
Ε᾽γρεο, λέκτρον ἄειρε, καὶ ἔρχεο κοῦφος ὁδίτης.
Νουσαλέος δ᾽ ἀνέπαλτο, καὶ εἰς πέδον ἴχνος ἐρείσας,
Ι᾽στατο· καὶ κλιντῆρα λαβὼν ἐπικείμενον ὤμῳ,
Ε᾽στιχε πανδόκον οἶκον, ἀήθεα γούνατα πάλλων,
Καὶ καμάτῳ βαρύφορτον ἐπωμάδα λέκτρον ἀείρων.
Καὶ τότε σάββατον ἦεν. ἐν ἠλιβάτῳ δὲ νηῷ
Α᾽νέρα παπταίνοντες, ὃν ἀρχαίης ἀπὸ νούσου
Λυσιπόνῳ ταχυεργὸς ἄναξ ἰήσατο μύθῳ,
Εἴρεον, ὅστις ἄνωγεν ἑῇ σημάντορι φωνῇ
Λέκτρον ἀερτάζοντα παλινδίνητον ὁδεύειν.
Καὶ φθονεροῖς ἀπάμειπτο σοφῷ θεοπειθέϊ μύθῳ,
Ο᾽στις ἀπὸ κλιντῆρος ἀνεζώγρησε πεσόντα,
Αὐτὸς ἐμοὶ κατέλεξεν ἀερτάζειν καὶ ὁδεύειν.
Καί μιν Ἰουδαίων πάλιν εἴρετο λαὸς ἀγήνωρ,
Τίς πέλεν ὅς σε κέλευσεν ἀδειμάντῳ τινὶ φωνῇ,
Ἔρχεο, σὸν κλιντῆρα λαβὼν πεφορημένον ὤμῳ;
Οὐ μὲν ἀνὴρ δεδάηκεν ἑῆς ἰητῆρα νούσου·
Καί μιν ἰδὼν στείχοντα λιθώδεος ἔνδοθι νηοῦ,
Ὕβριν ἀναμνήσας προτέρην, ποινήτορα νούσου,
Χριστὸς ἀνασχέλλων ἐπετέλλετο μάρτυρι μύθῳ,
Ἤδη, νοῦσον ἔχων, σόος ἔπλεο· μηκέτι ῥέξῃς
Α᾽μπλακίην ἑτέρην, μὴ κύντερον ἄλλο νοήσῃς.
Καὶ θρασὺς Ἑβραίοισι παλίνδρομος ἄγγελος ἔστη,
Μῦθον ἀναινομένῳ βοόων ζηλήμονι λαῷ,
Ὅττι μιν αὐτοκέλευστος ἀπήμονα θέσπιδι φωνῇ

Ἰησοῦς



Tunc me iunior celeri vibratione
Præueniens homo alius leuior deſcendit
In ſpumam ſublimem eructantis piſcinæ.
Et ipſum Rex confirmauit ſua viuifica voce,
Surge, lectum tolle, & vade leuis viator.
Valetudinarius autem ſaliit, & in ſolum veſtigium firmans,
Stetit: & lectum ſumens impoſitum humeris
Incedebat per capaciſſimam domum, inconſueta genua vibrans,
Et labore grauis ponderis humeralem lectum tollẽs.
Et tunc ſabbatum erat: in lapidoſo verò templo
Virum videntes, quem antiquo ex morbo
Dolorifrago opere promptus Rex ſanauerat verbo,
Interrogabant, Quiſnam iuſſit ſua ſignificante voce
Lectum attollentem te reuerſum ambulare?
Et inuidis reſpondit ſapienti Deo parente verbo,
Qui è lecto inſtaurauit lapſum,
Ille me iuſſit attollere & ambulare.
Et ipſum Iudæorum rurſus interrogauit populus ſuperbus,
Quis eſt qui te iuſſit intrepida quadam voce,
Vade, tuum lectum ſumens geſtatum humero?
Non ſanè vir ſciuit ſui medicum morbi:
Et ipſum videns incedentem lapidoſo in templo,
Petulantiam in memoriam reuocans priorem, vindicem morbi,
Chriſtus coercens præcepit teſtificante verbo,
Ecce, morbum habens, ſanus factus es: ne amplius facias
Peccatum aliud, ne peius quid ſentias.
Et audax Hebræis recurrens nuntius ſtetit,
Sermonem renuenti clamans æmulanti populo,
Quòd ipſum ſponte illæſum diuina voce

Ἰησοῦς ἐκέλευσε, καὶ ὀψικέλευθον ὁδίτην
Νουσοκόμου κλιντῆρος ἀήθεα θῆκε φορῆα.
Οὗ χάριν Ἑβραῖοι μανιώδεες ἄφρονι θυμῷ
Ἰησοῦν ἐδίωκον, ὅτι ζαθέῳ παρὰ νηῷ
Ὁππότε σάββατον ἦεν, ἐπείγετο ταῦτα τελέσσαι,
Μοῦνος ἐὼν ἀφύλακτος ὅτε βροτέων ἀπὸ μόχθων
Πάντες ἀεργηλοῖσιν ἐπέτρεπον ἔργον ἀκάνθαις.
Ἰησοῦς δ' ἀγόρευε χέων ὑψαύχενα φωνήν,
Εἰσέτι νῦν γενέτης ἐργάζεται ἠθάδι κόσμῳ
Ἤθεσιν ἀντιτύποις, καὶ ἐγὼ πάϊς ἔργον ὑφαίνω.
Οὗ χάριν Ἑβραῖοι δολίῳ μάστευον ὀλέθρῳ
Χριστὸν ἀποκτενέειν, ὅτι μὴ μόνον ἤθελε λύειν
Ἔννομον ἀπρήκτοιο σέλας πεφυλαγμένον ἠοῦς,
Ἀλλ' ὅτι μυστιπόλοιο μετὰ δρόμον ἠριγενείης,
Καὶ θεὸν αὐτογένεθλον ἑὸν κίκλησκε τοκῆα,
Ἰσάζων ἑὸν εὖχος ἐπουρανίῳ βασιλῆϊ.
Ἰησοῦς δ' ἀγόρευεν, Ἀμὴν ἐπιμάρτυρον ἔστω,
Οὐδὲν ἑῇ ἰότητι δυνήσεται υἱὸς ἀνύσσαι,
Εἰ μὴ ἐσαθρήσειεν ἑὸν τελέοντα τοκῆα.
Ἔργα γὰρ εἰν ἑνὶ πάντα πατὴρ ἐμὸς ὁππόσα ῥέ-
ζει,
Ταῦτα θεὸν γενέτην μιμούμενος υἱὸς ἀνύσσει.
Υἱέα γὰρ φιλέει γενέτης ἑόν· ὅσσα δὲ τεύχει,
Παιδὶ φίλῳ δείκνυσι, καὶ εἰσέτι μείζονα δείξει,
Ὄφρα κε θαμβήσητε τελειοτέρων χάριν ἔργων.
Ὥσπερ γὰρ γενέτης νέκυας μετὰ πότμον ἐγείρει
Ζωγρήσας παλίνορσον ἀκινήτων δέμας ἀν-
δρῶν,
Οὕτως οὓς ἐθέλει καὶ ὁμοίιος υἱὸς ἐγείρει,
Ζωγρήσας φθιμένων παλινάγρετα σώματα φω-
τῶν.
Οὔτινα γὰρ κρίνειε πατὴρ ἐμός· ἀνδρομέην
δὲ

Ὄψιμον



Iesus iussisset, & serogradum viatorem
Morbum ferentis lecti inconsuetum fecisset la-
torem.
Cuius gratia Hebræi furentes insipienti animo
Iesum persequebantur, quòd diuinum apud tēplum
Quum sabbatum esset, conaretur hoc perficere,
Solus non obseruans quando humanis à laboribus
Omnes otiosis commisissent opus spinis.
Iesus autem dixit fundens gloriosam vocem,
Adhuc iam pater operatur in consueto mundo
Moribus expressis, & ego filius opus texo.
Propter quod Hebræi doloso inquirebant exitio
Christū interficere, quòd non solum volebat soluere
Legitimum otiosæ splendorem obseruatum auroræ,
Sed quòd mysticæ post cursum auroræ,
Et Deum per se genitum suum vocasset parentem,
AEqualem faciens suam gloriam cœlesti Regi.
Iesus autem dixit, Amen testificatum sit,
Nihil sua voluntate poterit filius perficere,
Nisi inspexerit suum perficientem parentem.
Opera enim in vniuersum omnia quæcunque meus
pater facit;
Hæc Deum parentem imitans filius perficit.
Filium enim diligit pater suum: & quæcunq; facit,
Filio charo ostendit: & adhuc maiora ostendet,
Vt miremini perfectiorum gratia operum.
Sicut enim pater mortuos post fatum excitat,
Vegetans retrogradum immobilium corpus ho-
minum.
Sic quos vult & similis filius excitat,
Recreans corruptorum rursus congregata corpora
virorum.
Neminem enim iudicauerit pater meus: humanum
verò

Serum

Ὄψιμον υἱέϊ δῶκεν ὅλην κρίσιν, ὄφρα κε πάντες
Υἱέα τιμήσωσιν ἰσόζυγον ᾧ γενετῆρι,
Οἷά τε κυδαίνουσι καὶ ὑψιμέδοντα τοκῆα.
Εἰ δέ τις ἀλλοπρόσαλλον ἔχει νόον, οὐδὲ το-
κῆος
Κυδαίνει λόγον υἷα, καὶ οὐ γενετῆρα γεραίρει.
Μάρτυρον ἐμπεδόμυθον ἀμὴν ἀμὴν πάλιν ἔστω,
Ὅστις ἀνὴρ δέξοιτο νόου πειθήμονι θεσμῷ
Μύθους ἡμετέρους, καὶ ἐμῷ πείθοιτο τοκῆϊ,
Εἰς κρίσιν ἐρχομένην οὐκ ἔρχεται, ἀλλ᾽ ἐπ᾽ ἐκείνην
Ζωὴν ἀμβροσίην, τὴν οὐ χρόνος οἶδεν ὀλέσσαι,
Ἵξεται ἐκ θανάτοιο μετάτροπος. ἀπροΐδης γὰρ
Μαῖα παλιγγενέων μερόπων νεκυοσσόος ὥ-
ρη
Ἵξεται ὀψιτέλεστος, ἀναυδέες ὁππότε νεκροὶ
Αὖτις ἀναζήσωσιν ἀνοστήτων ἀπὸ κόλπων,
Πάντες ἀλεξιμόροιο ἐμῆς ἀΐοντες ἰωῆς,
Παιδὸς τηλυγέτοιο φερεζώοιο τοκῆος.
Ὥσπερ γὰρ γενέτης μεθέπει παμμήτορα κόσμου
Ζωήν, ἧς ἄπο πᾶσι βιοσσόον ἆσθμα τιταίνει,
Οὕτω παμμεδέοντι καὶ υἱέϊ δῶκε κομίζειν
Ζωήν, καὶ ζαθέην ὑψίζυγον ὤπασε τιμήν,
Καὶ κρίσιν ὧν ἐθέλει τελέειν ἰσόζυγι θεσμῷ,
Ὅττι περ ἀνθρώποιο φερέσβιος υἱὸς ἀκούει.
Καὶ μὴ θάμβος ἔχοιτε, καὶ εἴ τινα θέσκελον ὀμφὴν
Ἔννεπον ἐσσομένην· ὅτι λοίσθιος ἔρχεται ὥρη,
Καὶ νῦν ἀμφιβέβηκεν, ἀολλέες ὁππότε νεκροὶ
Ζωοτόκων ἀΐοντες ἀνοστήτων ἀπὸ τύμβων,
Χριστοῦ φθεγγομένοιο δεδεγμένοι ἔνθεον
ἠχώ,
Πάντοθεν ἀΐσσουσι, καὶ ὄψιμος ἄλλος ἐπ᾽ ἄλλῳ
Ἀρχαίῃ πελάσειε παλιγγενὲς ἴχνος ἀρούρῃ·
Οἱ μὲν ἀεθλεύσαντες ἀμεμφέα πιστὸν ἀ-
γῶνα,

Ζωῆς



Serum filio dedit omne iudicium, vt omnes
Filium honorent æqualem suo parenti,
Sicut & glorificant altiregentem patrem.
Si verò quis instabilem habet mentem, neque pa-
rentis
Glorificat Verbum filium, nec parentem honorat.
Testificans firmiloquum Amen Amen rursus sit,
Quicunque vir receperit mentis credula lege
Sermones nostros, & meo crediderit patri,
In iudicium venturum non venit, sed ad illam
Vitam immortalem, quam tempus nō nouit perdere,
Veniet ex morte reuersus. improuisa enim
Obstetrix renascentium hominum mortuos suscitans
hora
Veniet serò perfecta, muti quando mortui
Rursus reuiuiscent reditus expertibus è finibus,
Omnes mortem pellentem meam audientes vocem,
Filii vnicè dilecti vitam ferentis patris.
Sicut enim pater habet matrem omnium in mundo
Vitam, à qua omnibus vitalem spiritum præbet,
Sic omnium rectori & filio dedit ferre
Vitam, & diuinam altiiugam dedit gloriam,
Et iudicium quorum vult perficere æquali lege,
Quia hominis vitam ferens filius dicitur.
Et ne miremini si aliquam diuinam vocem
Dixi venturam, quia extrema venit hora,
Et nunc propè accessit, congregati quando mortui
Viuos parientibus audientes reditus expertibus è se-
pulcris,
Christi loquentis recipientes diuinum sonum,
Vndique concitabuntur, & serus alius post alium
Veteri adiunget renatum vestigium terræ:
Qui quidem certarunt irreprehensibile fidele cer-
tamen,

Vitæ

Ζωῆς ἀθανάτης ἐς ἀνάστασιν· οἱ δὲ καμόν-
τες
Ἔργα πολυπλανέος βιοτῆς ἑτερόφρονι λύσσῃ,
Κρίσιος ἐσσομένης ἐς ἀνάστασιν. οὐρανίου γὰρ
Οὐ δύναμαι γενετῆρος ἀπόπροθεν οὐδὲν ἀνύσσαι
Αὐτόματος, κρίνειν δὲ δυνήσομαι ὥσπερ ἀκούω.
Νημερτὴς δέ μοι ἐστὶν ἐμὴ κρίσις. οὐ γὰρ ἱκαίω
Κῦδος ἐμὸν τελέειν διζήμενος, ἀλλὰ τοκῆος.
Τιμὴν ἡμετέρην οὐ φθέγγομαι. ἢν γὰρ ἐνίψω
Μαρτυρίην ἰδίην, οὐ πείθεται ἄλλος ἀκούων.
Οὐ γὰρ ἐμὸς πέλε μῦθος ἐτήτυμος, ἤνπερ ἐνίψω
Μαρτυρίην ἰδίην αὐτόθροον, ἀμφ᾽ ἐμέθεν δὲ
Ἄλλος ἀνὴρ πέλε μάρτυς ἐπάρκιος. οἶδα δ᾽ ἐκείνου
Πιστὴν μαρτυρίην καὶ ἐτήτυμον. Εἰρόμενοι δὲ
Ἁγνὸν Ἰωάννην θεοδέγμονος ἔγκυον ὀμφῆς
Ὑμεῖς οὐρεσίφοιτον ἐπέμψατε λαὸν ὁδίτην
Ἀνδρῶν μυστιπόλων· καὶ ἀμεμφέα θέσκελος
ἀνὴρ
Μῦθον ἀληθείης ἀλύτῳ σφρηγίσσατο μύθῳ,
Μάρτυρος ἐμπεδόμυθος. ἐπιχθονίης δ᾽ ἀπὸ φωνῆς
Μαρτυρίην μερόπων οὐ δέχνυμαι, ἀλλὰ διδάσκων
Ἑβραίους, τάδε πάντα μετέρχομαι, ὄφρα μαθόντας
Ὑμέας εἰν ἑνὶ πάντας ἐμοῖς ἐπέεσσι σαώσω.
Κεῖνος Ἰωάννης νοερὰς σπινθῆρας ἰάλλων,
Εὐσεβίης πέλε λύχνος ἐτήτυμος ἀνδράσι φαίνων·
Ὑμεῖς δ᾽ εἰς στροφάλιγγα μιῆς ταχυδινέος ὥρης,
Κείνου μαρτυρίῃσιν ἐφαιδρύνασθε φανέντος,
Ὕδασιν ἀστράπτοντος ἀγαλλόμενοι παρὰ λύχνου
Ὕδασι θεσπεσίοισιν· Ἰωάνναο δὲ φωνῆς
Μείζονα μαρτυρίην μεθέπω, καὶ φέρτερον ὀμφήν.
Ἔργα γὰρ ὁππόσα δῶκε πατὴρ ἐμὸς ὄφρα τε-
λέσσω,
Φθέγγεται αὐτοβόητα λάλῳ σάλπιγγι σιωπῆς,
Ταῦτά με κηρύσσει, καὶ ἐρεύγεται ἔμπεδον αὐδήν.

Οὐδὲ



Vitæ immortalis ad resurrectionem: qui verò perfe-
cerunt
Opera multum errantis vitæ aliter sentiente rabie,
Iudicii futuri ad resurrectionem. cœlesti enim
Non possum sine patre aliquid perficere
Sponte, iudicare verò potero sicut audio.
Infallibile autẽ meum est iudicium. non enim venio
Gloriam meam perficere quærens, sed patris:
Honorẽ nostrum non loquor. si enim loquutus fuero
Testimonium proprium, non credit alius audiens.
Non enim meus est sermo verus, si loquutus fuero
Testimoniũ proprium de meipso dictum. de me autẽ
Alius vir est testis sufficiens. noui autem illius
Fidele testimonium & verum. interrogantes autem
Castum Ioannem diuina repletum voce,
Vos montiuagum misistis populum viatorem
Virorum sacrificorum: & irreprehensibilem diui-
nus vir
Sermonem veritatis insolubili obsignauit verbo,
Testis firmiloquus. terrestri autem à voce
Testimonium hominum non recipio, sed docens
Hebræos, hæc omnia adduco, vt doctos
Vos in vniuersum omnes meis verbis saluem.
Ille Ioannes sapientes scintillas emittens,
Pietatis erat lucerna vera viris apparens:
Vos autem ad vertiginem vnius volubilis horæ,
Illius testimoniis lætati estis apparentis,
Aquis coruscantem gestientes ad lucernam
Aquis diuinis. Ioannis autem voce
Maius testimonium habeo, & præstantius oraculum.
Opera enim quæcunque dedit pater meus vt per-
ficiam,
Loquuntur per se clamantia loquente tuba silentii:
Hæc me prædicant & eructant firmam vocem.

Neque

Οὐδὲ πατήρ με λέλοιπεν ἀκηρύκτῳ τινὶ σιγῇ,
Ὅστις ἐμὲ προέηκεν ἀπ' αἰθέρος· ἀλλὰ καὶ αὐτὸς
Φθεγγομένοις στομάτεσσι θεηγλώσσων διὰ φωτῶν
Μαρτυρίην ζώουσαν ἀμοιβαίῃ πόρε δέλτῳ,
Ὅστις ἐμὲ προέηκε· καὶ ἔνθεον οὔποτε μορφὴν
Πατρὸς ἐθηήσασθε, καὶ οὐκ ἠκούσατε φωνῆς,
Οὐδέ οἱ ἀπλανέεσσι φυλάσσετε μῦθον ἀκουαῖς.
Οὐ γὰρ ἐμὸς προέηκε πατὴρ χραισμήτορα κόσμῳ,
Οὐ θεὸν υἷα δέχεσθε, καὶ οὐ πέμψαντα τοκῆα.
Γραπτὰ θεορρήτων μαστεύετε θέσφατα βίβλων,
Ἧσιν ἔχειν ἔλπεσθε, χρόνου παλιναυξέϊ κύκλῳ,
Ζωὴν οὐ μινύθουσαν. ἐνὶ γραφίδεσσι δὲ κεῖναι
Μαρτυρίην βοόωσιν ἐμὴν ὑποφήτορι μύθῳ
Ἀθανάτῳ σάλπιγγι· καὶ οὐ σπέρχεσθε μαθόντες
Γράμματα φωνήεντα, θελήμονες εἰς ἐμὲ βαίνειν.
Τιμὴν ἐκ μερόπων οὐ δέχνυμαι· ἀλλά που ἔγνων
Ὑμέας ἀστέργοισιν ἐν ἤθεσιν, οὐδὲ τοκῆος
Φίλτρον ἐπουρανίοιο φυλάσσετε παμβασιλῆος.
Ἦλθον ἐγὼ βοόων πατρώϊον οὔνομα κόσμῳ,
Καὶ θεὸν οὔ με δέχεσθε, καὶ οὐ πείθεσθε τοκῆϊ·
Εἰ δέ τις ἄλλος ἵκοιτο νόθος ψευδώνυμος ἀνήρ,
Ἀντίθεος, τότε κεῖνον αὐχέσιον ἠπεροπῆα
Αὐτίκα μειλίσσεσθε τεθηπότες· ὄφρα τις εἴπῃ,
Γνήσιον ἠρνήσαντο, νόθον δ' ἐδέχοντο φανέντα.
Πῶς δέ με, πῶς δὲ δύνασθε θεοῦ λόγον υἷα γεραίρειν,
Κῦδος ἀπ' ἀλλήλων ποτιδέγμενοι, οὐδὲ δαῆναι
Μουνογενέταο θεοῦ μαστεύετε τιμήν;
Ἤ ῥα μάτην ἔλπεσθε, κατήγορα χείλεα λύσας
Ὑμείων ὅτι λύσσαν ἐμῷ γενετῆρι βοήσω.
Ὑμέας ἐν γραφίδεσσι κατήγορος ἄλλος ἐλέγχει.
Μωσῆς θεσμοθέτης, προτόθροος, ᾧ ἔπι μούνῳ

Ἐλπίδες



Neque pater me reliquit non prædicato quodam silentio,
Qui me præmisit è cœlis: sed & ipse
Loquentibus oribus deiloquos per viros
Testimonium viuum reciproco dedit libro,
Qui me præmisit: & diuinam nunquam formam
Patris vidistis,& non audiuistis vocem,
Neque ei non errantibus custoditis verbum auribus.
Quem enim meus præmisit pater opitulatorē mundo,
Non Deum filium recipitis,nec mittentem patrem.
Scripta diuiniloquorum inquirite oracula librorum,
In quibus habere speratis,tēporis recrescēte circulo,
Vitam non temporalem: in scripturis autem illæ
Testimonium clamant meum interpretante verbo
Immortali tuba: & non festinatis discentes
Scripturas loquentes ,prompti ad me venire.
Honorem ab hominibus non recipio:sed cognoui
Vos inhumanis moribus,neque patris
Amorem cœlestis seruatis omnium regis.
Veni ego clamans paternum nomen mundo,
Et Deum non me recipitis,nec creditis patri:
Si verò quis alius venerit spurius falsò nominatus vir,
Deo contrarius,tunc illum infestum deceptorem
Statim placabitis stupefacti: vt quis dicere possit,
Legitimum abnegarunt , spurium autem receperunt apparentem.
Quomodo autem me,quomodo potestis Dei Verbum filium honorare,
Gloriam abinuicem expectantes : neque cognoscere
Solius omnium genitoris Dei inquiritis honorem ?
Sanè frustrà timetis ,accusantia labia soluens
Vestram quòd rabiem meo parenti indicaturus sim.
Vos in scripturis accusator alius redarguit,
Moses legislator,propheta,in quo solo

Spes

Ἐλπίδες ὑμείων θεοπειθέες. εἰ γὰρ ἐκείνου
Ἔμπεδον ἀπλανέεσσιν ἐθήκατε μῦθον ἀκουαῖς,
Καί κεν ἐμοὶ πείθεσθε πεποιθότες. ἀμφ' ἐμέθεν γὰρ
Θεῖος ἀνὴρ ἔγραψεν ἐτήτυμος. εἰ δ' ἄρ' ἐκείνου
Γράμμασιν οὐ πείθεσθε, τάπερ θεὸς ὤπασε κόσμῳ,
Μᾶλλον ἀκηλήτοισι πόθεν δέξοισθε μενοιναῖς
Ἄγραφον ἡμετέρων στομάτων ἀΐοντες ἰωήν;

Ἔννεπε· καὶ μετέπειτα πέρην Τιβεριάδος ἅλμης — Κεφ. ς.

Νηὶ πολυκλήϊδι ταμὼν ἀντώπιον ὕδωρ,
Γείτονα γαῖαν ἔδυνε. συνεσσεύοντο δὲ λαοὶ
Θαύματα παπταίνοντες, ἅπερ κάμεν ἠθάδι μύθῳ,
Ῥυόμενος βαρύνουσαν ἱμασσομένων δέμας ἀνδρῶν.
Καὶ δαπέδου λοφόεντος ἐρημάδος πέζαν ὁδεύων,
Εἰς ὄρος ὑψικάρηνον ἀνήϊε. μεσσοφανῆ δὲ
Ἑζόμενον στεφανηδὸν ἐκυκλώσαντο μαθηταί.
Καὶ σχεδὸν Ἑβραίοισι φιλόργιος ἦεν ἑορτή,
Πάσχα τόπερ καλέουσι. δι' εὐδένδροιο δὲ λόχμης
Ὀφθαλμὸν ἀνάειρε, καὶ ἄσπετον ἄλλον ἐπ' ἄλλῳ
Ἔδρακεν ἀγχικέλευθον ἐπήλυδα λαὸν ὁδίτην.
Ἑζόμενον δὲ Φίλιππον ἑῷ μειλίξατο μύθῳ,
Εἰπέ, πόθεν πριόμεσθα πολυσπερέων χύσιν ἄρτων
Ἀνδράσι τοσσατίοισιν; ἑὴν δ' ἔκρυπτε μενοινήν,
Καὶ νόον ἀγνώσσοντος ἐπειρήτιζε Φιλίππου.
Αὐτὸς γὰρ δεδάηκε τόπερ ἤμελλε τελέσσαι.
Ἀσχαλόων δὲ Φίλιππος ἐμίγνυε θαύματι φωνήν,
Λαὸν ἴσον ψαμάθοισι διηκοσίων τινὶ μέτρῳ
Ἄρτοι δηναρίων οὐκ ἄρκιοι εἰσὶ κορέσσαι,
Ὄφρα κε βαιὸν ἕκαστος ἔχῃ μέρος. εἷς δέ τις αὐτῶν





Spes veſtræ fideles. ſi enim illius
Firmum nõ errantibus repoſuiſſetis verbum auribus,
Etiam mihi crederetis confidentes. de me enim
Diuinus vir ſcripſit verus. ſi verò illius
Scriptis non creditis, quæ Deus præbuit mundo,
Magis intractabilibus quomodo reciperetis mẽtibus
Non ſcriptam noſtri oris audientes vocem?

Dixit: & deinceps trans Tiberiadis mare — Cap. VI.

Naui multos clauos habente ſecans oppoſitã aquam,
Vicinam terram ſubiit. ſimul concitabatur autem populus,
Miracula videns quæ fecit conſueto ſermone,
Liberans grauiter ægrotans afflictorum corpus virorum.
Et ſoli tumuloſi deſerti regionem peruadens,
In montem alticipitem aſcendit. in medio autem apparentem
Sedentem coronæ inſtar circundederunt diſcipuli.
Et propè Hebræis orgiorum cupidum erat feſtum,
Paſcha quod vocant. per denſam autem ſyluam
Oculos ſuſtulit, & infinitum alium poſt alium
Vidit vicinum aduenam populum viatorem:
Sedentem autem Philippum ſuo demulſit ſermone,
Dic, vnde ememus multorũ ſeminum fluorẽ panum
Viris tot? Suam autem occultauit ſententiam,
Et mentem ignorantis tentauit Philippi.
Ipſe enim ſciebat quid eſſet facturus.
Anxius verò Philippus miſcebat admirationi vocẽ,
Populum æqualem arenis ducentorum quadam menſura
Panes denariorum non ſufficientes ſunt ſaturare,
Vt exiguam quilibet habeat partem. Vnus autem ipſorum

Ἀγχιθέων ἑτάρων εὐάγγελον ἴαχε φωνήν,
Ἀνδρείας, βασιλῆϊ χέων φερέδειπνον ἰωήν,
Ὑγροπόρου Σίμωνος ἀδελφεὸς ἰχθυβολῆος·
Ἔστι τις ἐνθάδε κοῦρος, ἔχων κριθώδεας ἄρτους
Πέντε, καὶ ἀγχιπόρου διδυμάονας ἰχθύας ἅλμης,
Ἰχθύας ὀπταλέους διδυμάονας· ἀλλὰ τί ῥέξει
Ταῦτα πολυγλώσσῳ μεμερισμένα σύζυγι λαῷ;
Ἰησοῦς δ' ἐκέλευσεν ἑτοιμοτάτοισιν ἑταίροις,
Κλίνατε δαιτυμόνων μιγάδας στίχας ὑψόθι γαίης.
Ἦν δέ τις αὐτόθι χόρτος ἀπείριτος· ἀμφιλαφὴς δὲ
Σύμπλοκος ἐσμὸς ἔην ὁμοδόρπιος ὑψόθι γαίης.
Πέντε δὲ χιλιάδες πολυειδέες ἦσαν ἀριθμῷ
Δαιτυμόνων, καὶ ἕκαστος ἐρείδετο γείτονι τοίχῳ,
Κεκλιμένοι στοιχηδὸν ἐπ' εὐπετάλοιο τραπέζης
Μηκεδανῆς. καὶ πέντε λαβὼν κριθώδεας ἄρτους
Χριστὸς ἀεὶ ζώοντι χάριν γενετῆρι πταίρων,
Ἔκλασε συμπλεκέος παλάμης γαμψώνυχι παλμῷ,
Καὶ πόρε δαιτυμόνεσσι, καὶ ὤρεξε πᾶσιν ἐδωδήν,
Καὶ διδύμων νεπόδων ὅσον ἤθελον. ἀλλ' ὅτε λαῷ
Πειναλέῳ κόρος ἔσκε πολυφλοίσβοιο τραπέζης,
Ἰησοῦς ἐπέταξεν ὁμοζήλοισι μαθηταῖς,
Πάντα ταχυστροφάλιγγι μιῇ συλλέξατε ῥιπῇ
Κλάσματα πυκνωθέντα περισσοβότοιο τραπέζης,
Ὄφρα κε μηδὲν ὄλοιτο. Καὶ ἄστατος ἄλλος ἐπ' ἄλλῳ
Φοιταλέος πεφόρητο διάκτορος ἐσμὸς ἑταίρων,
Ὄγκον ἐπασσυτέρων τελέων ὑψούμενον ἄρτων
Χερσὶ βαθυνομένῃσιν. ἀπὸ χλοεροῖο δὲ χόρτου
Ῥωγαλέης συνάγειρε πολύπλανα λείψανα φορβῆς
Ὅσσα περισσεύοντο· μιῆς δ' ἀπὸ πεντάδος ἄρτων
Μαστεύων ἑλικηδὸν, ἕως πολυχανδέϊ κόλπῳ
Συμμιγέων ἔπλησε δυώδεκα κύκλα κοφίνων.

Καὶ



Diuinorum ſociorum læti nuntii ſonuit vocem,
Andreas, regi fũdens prandii allatricem vocem,
In aquis verſantis Simonis frater piſcatoris:
Eſt quidam hîc puer habens hordeaceos panes
Quinque, & vicini duos piſces maris,
Piſces aſſos duplices: ſed quid facient
Hæc multiloquo diuiſa coniuncto populo?
Ieſus autem iuſſit promptiſſimis ſociis
Inclinare conuiuantiũ mixtos ordines ſuper terram.
Erat autem ibi gramen infinitum : copioſus verò
Complicatus cœtus erat conuictor ſuper terram.
Quinque autem mille variæ ſpeciei erant numero
Conuiuantium, & quilibet innitebatur proximo parieti,
Recumbentes ordine ſuper vireſcentem menſam
Longam. & quinque ſumens hordeaceos panes
Chriſtus, ſemper viuenti gratias patri agens,
Fregit complicatæ manus vncungui motu,
Et dedit conuiuis, præbuítque omnibus cibum,
Et ex duobus piſcibus quantum volebant. Sed quum populo
Eſurienti ſatietas eſſet reſonantis menſæ,
Ieſus præcepit concordibus diſcipulis,
Omnia celeris vertiginis vno colligite impetu
Fragmenta ſolida redundantis menſæ,
Ne quid pereat. Et inſtabilis alius poſt alium
Impetuoſus ferebatur miniſtrans cœtus ſociorum,
Molem crebriorum perficiens altam panum
Manibus cauis. à viridi autem gramine
Fratri congregauit ſparſas reliquias cibi
Quæcunque ſupererant: vnóque à quinario panum
Inquirens orbiculatim, donec multum capaci ſinu
Promiſcuorum repleuit duodecim circulos cophinorum.

Καὶ πολὺς ἄλλοθεν ἄλλος ἐνίαχε θαῦμα νοήσας
Χριστὸς ὅπερ ποίησεν ὅλῳ θοινήτορι λαῷ,
Ἄρτων αὐτομάτων παλιναυξέα δαῖτα γεραίρων.
Οὗτος ὃν ἀείδουσιν ἐτήτυμός ἐστι προφήτης,
Ὃν φάτις ἀενάοιο μολεῖν ἰθύντορα κόσμου.
Εἰδὼς δ' αὐτοδίδακτος ἄναξ ὑποκάρδιον ὀμφὴν,
Ὅτι μολεῖν ἤμελλον ὁμήγυρες αὐτόθι λαοὶ,
Καί μιν ἀφαρπάξαντες ἀναστήσειν βασιλῆα,
Οὔρεος ὑλήεντος ἐρημάδα δύσατο πέτρην.
Καὶ σκιόεις ὅτε κῶνος ἀνέδραμε γείτονος ὄρφνης,
Πόντον ἐς ἀγχικέλευθον ἐπερρώοντο μαθηταί.
Νῆα δ' ἐπαΐξαντες ἁλίδρομον, ἅρμα θαλάσσης,
Γαῖαν ἐς ἀντιπέραιαν ἐπορθμεύοντο μαθηταὶ,
Ἄστυ Καφαρναοὺμ μετανεύμενοι. ἀγχιφανὴς δὲ
Γαῖαν ὅλην ἐκάλυψε μελαγκρήδεμνος ὁμίχλη,
Καὶ χροῒ ποικιλόνωτον ἐπισφίγξασα χιτῶνα,
Ἀστερόεν σελάγιζεν. ἐελδομένοις δὲ μαθηταῖς
Οὔπω Χριστὸς ἵκανεν. ἐπειγομένης δὲ θυέλλης,
Ἀγχιφανὴς ἐπίκυρτος ἐπυργώθη ῥόος ἅλμης,
Καὶ δολιχοῖς ἐλατῆρες ὕδωρ ἐχάρασσον ἐρετμοῖς,
Ἀντιπόροις ἀνέμοις βεβιημένον. εἰναλίων δὲ
Τρεῖς δεκάδας σταδίων ἢ εἴκοσι πέντε ταμόντες,
Χριστὸν ἐθηήσαντο διαστείχοντα θαλάσσης,
Ἄβροχον ἴχνος ἔχοντα, βατῆς ἁλὸς ὀξὺν ὁδίτην.
Ταρβαλέοι δ' ἀλάλαζον. ἀτυζομένοις δὲ μαθηταῖς
Ἰησοῦς ὀάριζεν, Ἐάσατε τάρβος ἀήταις·
Χριστὸς ἐγὼ ταχύγουνος ὁδοιπόρος εἰμὶ θαλάσσης.

Καί μιν



Et plurimi aliunde alii ſonuerunt, miraculum intelligentes
Chriſtus quod fecit toti conuictori populo,
Panum ſpontaneorum recreſcens conuiuium honorantes:
Hic quem celebrant verus eſt propheta,
Quem fama eſt æterni venturum rectorem mundi.
Sciens verò per ſe doctus Rex cordis cogitationem,
Quòd venturi eſſent congregati ibi homines,
Et ipſum rapturi vt conſtituerent regem,
Montis ſyluoſi deſertam ſubiit petram.
Et vmbroſus quando conus accurrit vicinæ caliginis,
Mare ad propinquum impellebantur diſcipuli.
In nauem autem irruentes mariuagam, currum maris
Terram in oppoſitam traiiciebant diſcipuli,
Ad ciuitatem Capernaum appellentes: vicina verò
Terram totam texit atra caligo,
Et circa corpus varium dorſum habentem contrahēs tunicam,
Stellatum cœlum ſplendebat. Cupientibus verò diſcipulis
Nondum Chriſtus venit. inſtante autem procella,
Propè apparēs incuruus intumeſcebat fluxus maris,
Et longis remiges aquam ſignabant remis,
Contrariis ventis impulſam: marinorum verò
Tres decadesſtadiorum vel vigintiquinque ſecātes,
Chriſtum viderunt incedentem ſuper mare,
Siccum veſtigium habentem, peruii maris celerem viatorem.
Formidantes autem vociferabantur; attonitos verò diſcipulos
Ieſus alloquebatur, Sinite formidinem ventis:
Chriſtus ego velox viator ſum maris.

Καί μιν ἑλεῖν μεμάασιν ἐς ὁλκάδα, καὶ μυχὸς ἅλμης
Ἦν τότε, καὶ πέλεν ὅρμος· ἐπεὶ θεοδινέϊ παλμῷ
Οἷα νόος πτερόεις, ἀνέμων δίχα, νόσφιν ἐρετμῶν,
Τηλεπόροις λιμένεσσιν ὁμίλεεν αὐτομάτη νηῦς.
Ἀλλ᾽ ὅτε πορφυρέην Τιβερήτιδα γείτονα πέτρην
Ἀκροφανὴς ἐχάραξε λιπόσκιον ὄρθρος ὁμίχλην,
Λαὸς ἐϋκρηνάλοιο πέδον ἀντίπεδος ἅλμης
Ἱστάμενος σκοπίαζεν ὅτι ζαθέῃ παρὰ λίμνῃ
Ἰκμαλέης οὐκ ἦσαν ἱμασσομένης πέλας ἀκτῆς
Στοιχάδες ἀλλήλῃσιν ὁμόζυγες ὁλκάδες ἄλλαι,
Εἰ μὴ νηῦς μία μοῦνον ἀνέμπλοος, ὅττι καὶ αὐτὸς
Οὔ ποτε ποντοπόροιο μιῆς ἐπὶ νηὸς Ἰησοῦς
Ἀγχιθέοις ἑτάροισι συνέπλεεν· ἀλλ᾽ ὅτι μοῦνοι
Γαῖαν ἐς ἀντικέλευθον ἐναυτίλλοντο μαθηταί,
Ἄλλας νῆας ἔχοντες, ὅπῃ Τιβερήτιδες ἀκταί·
Πόντον ἐπεστεύοντο, καὶ ἤλυθον ἐγγύθι χώρου,
Λαὸς ὅπῃ νήριθμος ἐπ᾽ εὐχόρτοιο τραπέζης
Θέσκελον ἤσθιεν ἄρτον, ὃν ἔκλασεν ἀμβροσίη χεὶρ
Χριστοῦ, παμμεδέοντι χάριν γενετῆρι διδόντος.
Καὶ μὴ Χριστὸν ἄνακτα φερέσβιον, οὐδὲ μαθητὰς
Ἑσπομένους εὑρόντες ἀμοιβαίων ἐπὶ νηῶν,
Πόντιον ἀφρικόμοισιν ὕδωρ λεύκαινον ἐρετμοῖς,
Ἄστυ Καφαρναοὺμ μετανεύμενοι. ἀγχιφανῆ δὲ
Ἀντιπέρην εὑρόντες ἀσιγήτοιο θαλάσσης
Χριστὸν, ἐκυκλώσαντο, καὶ ἔννεπον ἡδέϊ μύθῳ,
Ῥαββὶν ἄναξ, πότε δεῦρο παρέπλεες; ἁρπαλέης δὲ
Εἰλαπίνης μνηστῆρα μετήλυδα λαὸν ἐλέγχων
Ἰησοῦς ἀγόρευε, μινυνθαδίης ἀπὸ φορβῆς
Εἰς θαλίην ζείδωρον ἀλήμονας ἀνέρας ἕλκων,

Οἶδα τί



Et ipsum trahere volebant in nauim, & vis maris
Erat tunc, & erat portus: postquã diuina agitatione
Tanquam mens alata, sine ventis, sine remis,
Ad longinquum portum appulerat spontanea nauis.
Sed quando rubefaciens Tiberiadem vicinam petram
In summo apparens signasset vmbrosam aurora caliginem,
Populus pulchri littoris trans oppositum mare
Stans, circumspexit quòd sacrum apud lacum
Humidum non essent agitatum prope littus
Ordinatæ inuicem coniunctæ naues aliæ,
Nisi nauis vna sola non nauigans, quódque ipse
Non tunc pontigrada in naue Iesus
Diuinis cum sociis nauigaret: sed quòd soli
Terram in oppositam nauigassent discipuli,
Alias naues accipientes, vbi Tiberiadis [sunt] littora:
Mare concitarunt, & venerunt prope locum,
Populus vbi innumerus super graminosam mensam
Diuinum comedit panem, quem fregit immortalis manus
Christi, omnium rectori gratias patri agentis.
Nec Christũ regem vitam ferentẽ, neque discipulos
Sequentes inuenientes reciprocis in nauibus
Maritimam spumam ferentibus aquam dealbarunt remis,
Ad ciuitatem Capernaum appellentes. propinquum autem
Inuenientes trans inquietum mare
Christũ, circundederunt, & dixerunt suaui sermone,
Rabbi rex, quando huc nauigasti? rapidi autem
Conuiuii memorem aduenam populum redarguens
Iesus dixit, temporali à cibo
Ad conuiuium viuificum errantes viros trahens,

Οἶδα τί μαστεύοντες ἱκάνετε. νουσαλέων γὰρ
Οὐ διὰ θαύματα κεῖνα τάπερ κάμον ἠθάδι
μύθῳ,
Ὁππόσα θηήσασθε, πόθος δέ τις ὑμέας ἕλκει
Ἄρτων θεσπεσίων παλινάγρετος, ὅττι φαγόντες
Εἰλαπίνην νήριθμον ἐμῆς κεκόρησθε τραπέζης.
Ἀλλὰ πολυπλανέεσσιν ἐάσατε σύνδρομον αὔραις
Δαῖτα ταχυφθιμένην, καὶ ἀνύσσατε μᾶλλον ἐκείνην
Εἰλαπίνην μίμνουσαν ἀειζώοιο τραπέζης,
Ἣν μόνος ἀνθρώποιο φερέσβιος υἱὸς ὀπάσσει,
Τοῦτον ὅτι σφρήγισσε πατὴρ θεός. Εἰρομένη δὲ
Λαὸς Ἰουδαίων φιλοπευθέα ῥήξατο φωνήν,
Εἰπὲ, τί κεν ῥέξαιμεν; ὅπως θεοτερπέϊ θεσμῷ
Ἔργα θεοῦ τελέσοιμεν; Ἄναξ δ᾽ ἠμείβετο μύθῳ,
Ὀρθὴν πίστιν ἔχοντες, ὅπως δέξησθε φανέντα
Ὅντινα κεῖνος ἔπεμψεν. Ἐπεφθέγξαντο δὲ λαοί,
Ποῖον ἐελδομένοις σημήϊον ἄμμι τελέσσεις,
Ὄφρα κε πειθώμεσθα, θεόσσυτον ἔργον ἑλόντες,
Τί πρήξεις προτέροισιν ὁμοίϊον; ἡμέτεροι γὰρ
Αἰθέρος ἄμβροτον εἶδαρ ἐρημάδος ἐγγύθι πέτρης
Μάννα πολυκλήϊστον ἐδηήσαντο τοκῆες,
Γραπτὸς ὅπερ πολύμυθος ἀμετρήτῳ ποτὲ λαῷ
Οὐρανόθεν πόρεν ἄρτον ἀφειδέϊ δαιτυμονῆϊ.
Ἰησοῦς δ᾽ ἀγόρευεν, ἀγήνορα λαὸν ἐλέγχων,
Μωσῆς οὐ πάρος ὔμμιν, ἐρημαίῃ παρὰ πέτρῃ,
Αἰθέρος ἄρτον ὄπασσε μελίρρυτον εἰλαπινά-
ζειν·
Ἀλλὰ πατὴρ ἐμὸς ἦεν, ὃς εἰσέτι φέρτερον ὑμῖν
Οὐρανόθεν σοφὸν ἄλλον ἐτήτυμον ἄρτον ὀπάσσει.
Οὗτος γὰρ πέλεν ἄρτος ὃς οὐρανόθεν καταβαίνων
Ζωὴν πᾶσι μένουσαν ὅλῳ δωρήσατο κόσμῳ.
Καὶ πάλιν ὧδ᾽ ἀγόρευεν Ἰουδαίων χορὸς ἀνδρῶν,
Ζωῆς, κοίρανε, τοῦτον ὃν ἔννεπες ἔμπεδον εἶναι
Αἰθέρος ἄρτον ὄπασσον ἐτήτυμον εἰλαπινάζειν.

Ἰησοῦς



Scio quid quærentes venistis. ægrotorum enim
Non propter miracula illa quæ feci consueto verbo,
Quæ vidistis: desiderium autem aliquod vos trahit
Panum diuinorum rursus congregans, quòd comedentes
In conuiuio infinito mea satiati sitis à mensa.
Sed multum errantibus cōmittite comitem ventis
Cibum citò corruptibilem, & perficite magis illum
Cibum manentem semperuiuæ mensæ,
Quem solus hominis vitam ferens filius dabit,
Hunc quia obsignauit Deus pater. Interrogans autē
Populus Iudæorum sciscitantem rupit vocem,
Dic, quid faciemus, vt Deo grato ritu
Opera Dei perficiamus? Rex verò respōdit sermone,
Rectam fidem habentes, vt recipiatis apparentem,
Quem ille misit. Respondit autem populus,
Quale cupientibus signum nobis perficies,
Vt credamus, diuinum opus accipientes,
Quid facies prioribus simile? nostri enim
Cœli æternum cibum desertam apud petram
Manna valde celebratum viderunt parentes,
Scriptor quod multiloquus immenso quondā populo
Cœlitus præbuit panem copioso conuictori.
Iesus autem dixit, superbum populum redarguens,
Moses non antea vobis, desertam apud petram,
Cœlestem panem præbuit mellifluum ad comedendum:
Sed pater meus erat, qui adhuc præstantiorē vobis
Cœlitus sapientem alium verum panem præbebit.
Hic enim est panis qui cœlitus descendens
Vitam omnibus charam toti donauit mundo.
Et rursus sic dixit Iudæorum cœtus virorum,
Vitæ, domine, hunc quem dixisti stabilem esse
Cœlestem panem præbe verum comedere.

Iesus

Ἰησοῦς δ' ἐπέτασσε θεηγόρον αἰθερεῶνα,
Καὶ χάριτος πλήθουσαν ἀνήρυγε χείλεσι φωνήν,
Ζωῆς ἄφθιτος ἄρτος ἐγὼ πέλω· αἴθοπι λιμῷ
Οὔποτε πεινήσειεν ἀνὴρ βροτὸς εἰς ἐμὲ βαίνων.
Καὶ πᾶς ἡμετέρην ἀστεμφέα πίστιν ἀέξων,
Οὔποτε διψήσειεν, ἕως ἔτι καμπύλος ἕρπων
Αἰὼν εὐρυγένειος ἀτέρμονα νύσσαν ἀμείβει.
Ἀλλ' ὑμῖν ἀγόρευον ἐμῆς ὅτι θαύματα φωνῆς
Ὄμμασι θηήσασθε, καὶ οὐ πείθεσθε τοκῆϊ.
Πᾶς βροτὸς ὅν μοι ὄπασσε πατὴρ ἐμὸς, εἰς ἐμὲ
κάμψει
Ἴχνος ἑὸν, θεόθεν πεφορημένος. οὐδὲ καὶ αὐτὸς
Ἀνέρας ἐρχομένους νεοπειθέας ἐκτὸς ἐλάσσω,
Ἀλλὰ νόῳ χαίροντι δεδέξομαι. οὐ γὰρ ἐέλδωρ
Ἤλυθον οὐρανόθεν τελέων ἐμὸν, ἀλλὰ τοκῆος.
Τοῦτο δὲ παμμεδέοντος ἐμοῦ πέλε πατρὸς ἐέλδωρ,
Ὄφρα κεν ὧν γενέτης ἐμὸς ἄπασε μηδέν' ὀλέσσω,
Ἀλλά μιν ἀχλυόεντος ἀναστήσαιμι βερέθρου
Νόστιμον ἐκ νεκύων, ὅτε λοίσθιον ἦμαρ ἱκάνει.
Τοῦτο γὰρ αἰγλήεντος ἐμοῦ πέλε νεῦμα τοκῆος,
Ὄφρα κε πᾶς ὁρόων με, γαλήνιον ὄμμα τιταίνων,
Ζωῆς ἐσσομένης αἰώνιον ἐς χορὸν ἔλθῃ,
Καί μιν ἀναστήσω παλινάγρετον, ὁππότε
κείνης
Ὑστατίης ὅτε φέγγος ἐλεύσεται ἠριγενείης.
Ζωὴ γὰρ πέλεν ἐτήτυμον ἡμετέρη σάρξ, *
Αἷμα δ' ἐμὸν νημερτὲς ἔφυ ποτόν. ὃς δέ κεν ἀνὴρ
Σαρκὸς ἐμῆς γεύσαιτο, καὶ αἵματος εἰν ἑνὶ
θεσμῷ,
Οὗτος ἀνὴρ ἐν ἐμοὶ μίμνει, καὶ ὁμόζυγος αὐτῷ
Ἔσσομαι, ἔμπεδος οἶκος, ἀειρόμενος καὶ ἀείρων.
Ὡς δὲ πατὴρ ζώων με βοηθόον ὤπασε κό-
σμῳ,
Ζώω δ' ὑψιμέδοντος ἐμοῦ διὰ νεῦμα τοκῆος

Αὐτὸς



Iesus autem aperuit diuiniloquum os,
Et gratia repletam eructauit labiis vocem,
Vitæ æternus panis ego sum, nigra fame
Nunquam esuriet vir mortalis ad me veniens,
Et omnis nostram immotam fidem augens
Nunquam sitiet, donec adhuc curuum repens
AEuum latæ generationis infinitā metam permutat.
Sed vobis dixi meæ quod miracula vocis
Oculis vidistis, & non creditis patri.
Omnis homo quem mihi dedit pater meus, ad me
flectet
Vestigium suum, à Deo adductus. neque ipse
Viros venientes recèns credentes foras expellam,
Sed mente gaudente suscipiam. non enim desiderium
Veni cœlitus perficiens meum, sed patris.
Hoc autē omnium rectoris mei est patris desiderium,
Vt eorum quos pater meus dedit, nullum perdam,
Sed ipsum caliginoso exsuscitem ex barathro,
Reducem ex mortuis, quando vltima hora venit.
Hæc enim clari mei est voluntas patris,
Vt omnis qui videt me, placidum oculum tendens,
Vitæ futuræ æternum ad cœtum veniat:
Et ipsum exsuscitabo rursus congregatum, quando
illius
Vltimæ lumen veniet auroræ.
Vita enim est verè nostra caro,
Et sanguis meus infallibilis est potus. quicunque vir
Carnem meam gustauerit, & sanguinem vna san-
ctione,
Hic vir in me manet, & coniunctus cum ipso
Ero, firma domus, gestatus & gestans.
Sicut autem pater viuens me opitulatorem præbuit
mundo,
Viuo autē altiregentis mei ob voluntatem patris

Ipse

Αὐτὸς ἐγώ· καὶ ἐκεῖνος ἀνὴρ ἰσόζυγι θεσμῷ
Ἐξ ἐμέθεν ζήσειεν, ἐμὸν δέμας εἰλαπινάζων.
Ζωῆς ἄφθιτος ἄρτος ἐτήτυμος ἐστὶν ἀκούει·
Οὐχ οἷον τὸ πάροιθεν ἐρημαίῃ παρὰ λόχμῃ
Ὑμέτεροι γλυκὺν ἄρτον ἐθηήσαντο τοκῆες,
Καὶ θάνον ἐν σκοπέλοισιν ὀρειπλανέες μετανάσται.
Τοῦτον ἀνὴρ ἐπάρουρος ἐτήτυμον ἄρτον ἐρέπτων,
Ζωὴν ὄψεται οὗτος, ἕως δολιχοῖο γενείου
Ἀμφὶ ἀφῆς πολιῇσι κόμην λευκαίνεται αἰών.
Ταῦτα βαθυκρήπιδι Καφαρναοὺμ ἐνὶ γαίῃ
Ἔννεπεν, ἐν λαΐγγος ἔσω νηοῖο διδάσκων.
Πολλοὶ δ᾽ εἰσαΐοντες, ἀμερσινόῳ τινὶ λύσσῃ
Εἰς χόλον οἰστρηθέντες, ἐμυθήσαντο μαθηταί,
Σκληρὸς ἐμοὶ λόγος ἐστὶν ὃν ἔννεπε· καὶ τίς ἀκούειν
Αὐτοῦ φθεγγομένοιο δυνήσεται; Αὐτόματος δὲ
Γινώσκων ὅτι λαὸς ὑπόδρης ἔσκεν ἑταίρων,
Λαθριδίην ἀχάλινον ὑποκλέπτοντες ἰωήν,
Χριστὸς ἁμαρτινόοισιν ἔπος ξυνώσατο μαθη-
ταῖς,
Ὑμείων ὅδε μῦθος ἀπειθέα θυμὸν ἀμύσσει·
Εἰ δέ κεν ἀθρήσητε συναστράπτοντα τοκῆϊ
Αἰθερίων, ὅθεν ἦλθεν, ἑῶν ἐπιβήτορα θώκων
Ἀνθρώπου πάλιν υἷα, τί ῥέξετε τοῦτο μαθόντες;
Πνεῦμα πέλει ζωαρκὲς ὑπέρτερον· ἀλλογενὴς δὲ
Σαρκὸς ἐπιχθονίης βροτέη φύσις οὐδὲν ὀνήσει.
Μύθων δ᾽ ἡμετέρων ῥόος ἔνθεος οὓς ἀγορεύω,
Ζωὴ ὁμοῦ καὶ πνεῦμα πέλει, καὶ ἐτήτυμος ὀμφή.
Ἀλλά τινες γεγάασιν ἀπειθέες ἄφρονι λύσσῃ.
Ἤδεε γὰρ τίνες ἦσαν ὅσοι νόον εἶχον ἀλή-
την,
Πίστιν ἁλιπλανέεσσιν ἐπιτρέψαντες ἀέλλαις.
Καί τις ἀνὴρ μιν ἔμελλεν Ἰουδαίοις παραδῶσειν,
Ἀργυρέης νούσοιο νόον δεδονημένος οἴστρῳ.
Καί σφιν ἄναξ ἀγόρευεν, Ὅθεν πάρος ἔννεπον ὑμῖν,

Οὐ



Ipſe ego: & ille vir æquali lege
Ex me viuet, meum corpus comedens.
Vitæ incorruptibilis panis verus hic dicitur:
Non qualiter antea deſertam apud ſyluam
Veſtri dulcem panem admirati ſunt patres,
Et mortui ſunt in ſcopulis montani exules.
Hunc vir terreſtris verum panem comedens,
Vitam videbit hic, donec prolixi menti
Abundans canis comam dealbat ſeculum.
Hæc profundi fundamenti Capernaum in terra
Dixit, lapidoſo in templo docens.
Multi autem audientes, cæca quadam rabie
In iram concitati, dixerunt diſcipuli,
Durus mihi ſermo hic quem dixit, & quis audire
Ipſum loquentem poterit? Sua ſponte autem
Cognoſcens quòd populus ſuſpicioſus eſſet ſociorũ,
Occultam effrænem ſupprimentes vocem,
Chriſtus mente errantibus verbum communicauit
diſcipulis,
Veſtram hic ſermo incredulam mentem cruciat:
Quid verò ſi videritis ſimul fulgentem cum patre
Cœleſtium, vnde venit, ſuarum aſcenſorem ſedium
Hominis rurſus filium, quid facietis hoc intelligẽtes?
Spiritus eſt viuificans præſtantior: alienigena autem
Carnis terreſtris humana natura nihil proderit.
Sermonum verò noſtrorum fluxus diuinus quos dico,
Vita ſimul & ſpiritus eſt, & vera vox.
Sed quidam ſunt increduli inſipienti rabie.
Sciebat enim quínam eſſent qui mentem habebant
errantem,
Fidem in mari errantibus committentes ventis,
Et quínam vir ipſum eſſet Iudæis proditurus,
Argentei morbi mente agitatus ſtimulo.
Et ipſis Rex dixit, Ideo antè dixi vobis,

Non

Οὐ δύναταί μερόπων τις ἑκούσιος εἰς ἐμὲ βαίνειν,
Εἰ μὴ ἀφ' ἡμετέροιο θεῷ πεφιλημένος ἀνὴρ
Τοῦτο γέρας δέξαιτο χαριζομένοιο τοκῆος.
Οὗ χάριν ἀστήρικτος ὀπισθοπόρῳ ποδὶ βαίνων,
Χάζετο τηλεπόρων μετανάστιος ἑσμὸς ἑταί-
ρων.
Οὐκέτι δ' ὡς τὸ πάροιθε μετάτροπον ἦθος ἀ-
μείψας,
Χριστῷ ἐφωμάρτησε τὸ δεύτερον. Εἰσορόων δὲ
Κοίρανος ἀσταθέων ἑτερόφρονα λαὸν ἑταί-
ρων
Ἂψ ἀνασειράζοντα μετήλυδα λαὸν ἀλήτην,
Ἔννεπε πιστοτέροισι δυώδεκα πᾶσι μαθηταῖς,
Ἦ ῥα σὺν ἀλλοδαποῖσι μολεῖν σπέρχεσθε καὶ αὐτοὶ
Γνήσιοι; ἦ ῥα νόθοισιν ὁμοίιοι εἰσὶ μαθηταί;
Καί οἱ Πέτρος ἔλεξε, βοώμενος οὔνομα Σίμων,
Πρὸς τίνα φέρτερον ἄλλον ἱκανόμεθ'; ἀμφιέπεις
γὰρ
Ζωῆς ἀενάοιο μελίρρυτα χεύματα μύθων·
Καὶ προτέρων δεδαῶτες ἀσιγήτων ἀπὸ βίβλων
Ἀπλανέες πειθόμεθα μιῇ καὶ ὁμόφρονι βουλῇ,
Ὅττι θεοῦ σὺ μόνος ἅγιος πέλεις. Ἡδυεπὴς δὲ
Ἀντίτυπον φάτο μῦθον ἄναξ πειθήμονι Πέτρῳ,
Ὑμέας οὐ φρένα πᾶσαν ἐγὼ δεδαημένος ἀνδρῶν
Ἐκ πολέων ἔκρινα; καὶ εἷς ἐναρίθμιος ὑμῖν
Δήϊος, ἀλλοπρόσαλλος, ὁμέστιος ἐστὶ μαθηταῖς,
Διάβολος νέος ἄλλος ἐν ὀψιγόνοισιν ἀκούων;
Ἔννεπε, σημαίνων ὁμοδόρπιον Ἰσκαριώτην,
Αἰνοτόκου Σίμωνος ἐπίκλοπον υἱὸν Ἰούδαν.
Αὐτὸς γάρ μιν ἔμελλε πορεῖν ζωαρκέϊ πότμῳ,
Χρυσομανής, δολίης πεπορημένον ἐς λίνον ἄγρης,
Εἷς γεγαὼς ἑτάρων δυοκαίδεκα. Καὶ Κεφ. ζ.
τότε ναίων
Κοίρανος αὐτόθι μίμνεν, ἀνεξικάκοισι πεδίλοις
Γαῖαν



Non poteſt hominum aliquis volens ad me venire,
Niſi è noſtro charus Deo vir
Hoc munus receperit donante patre.
Cuius gratia infirmus retrogrado pede incedens,
Receſſit procul venientium peregrinus cœtus ſo-
ciorum.
Non amplius autem vt antea mutabilem morem va-
rians,
Chriſtum ſequebatur iterum. Inſpiciens autem
Dominus inſtabilium aliter ſentientem populum ſo-
ciorum
Rurſus reuocantem aduenam populum errantem,
Dixit magis fidelibus duodecim omnibus diſcipulis,
Num cum extraneis ire feſtinatis & ipſi
Legitimi? num ſpuriis ſimiles ſunt diſcipuli?
Et ei Petrus dixit, vocatus nomine Simon,
Ad quem alium præſtantiorem veniemus? habes
enim
Vitæ æternæ mellifluos fluxus verborum:
Et prioribus ſcientes non ſilentibus ex libris
Non errantes credimus vna & cõſentiente volũtate,
Quòd Dei tu ſolus ſanctus es. Suauiloquus verò
Expreſſum dixit ſermonem Rex credulo Petro,
Vos nónne mentem omnem ego ſciens virorum
Ex multis ſelegi? & vnus annumeratus vobis
Hoſtilis, mutabilis, domeſticus eſt diſcipulis,
Diabolus nouus apud poſteros qui dicetur?
Dixit, ſignificans conuictorem Iſcariotam,
Miſeri Simonis ſubdolum filium Iudam.
Hic enim ipſum traditurus erat vitali fato,
Auro inſaniens, fraudulẽtæ delatum in rete capturæ,
Vnus exiſtens ſociorum duodecim. Cap. VII.
Et tunc habitans
Dominus ibi manſit, malorum tolerantibus pedibus
Terram

Γαῖαν ἁλικρήπιδα διαστείχων Γαλιλαίης.
Οὐ γὰρ Ἰουδαίων πέδον ἤθελεν ἁγνὸν ὁδεύειν,
Ὅττι μιν ἠπεροπῆϊ δόλῳ μενέαινον ὀλέσαι
Υἷες Ἰουδαίων, ὁσίῳ χαίροντες ὀλέθρῳ.
Ἦν δὲ θεῷ πανδήμιος ἐτήσιος ἐγγὺς ἑορτή,
Πηγνυμέναις κλισίῃσιν ἐπώνυμος. ἀγχίμολοι δὲ
Γνωτοὶ ψευδαλέοι τετράζυγες υἷες Ἰωσήφ,
Χριστὸν ἐπισπέρχοντες, ὁμόθροον ἴαχον αὐδήν,
Ἐντεῦθεν μετάβηθι, καὶ, ὁππότε κῶμος ἑορτῆς,
Σπεῦσον Ἰουδαίης ὁμοτέρμονα γαῖαν ὁδεύειν,
Ὄφρα μεταστρέψαντες ἀπειθέα λαὸν ἀλήτην,
Ἀρχαίην σέο πίστιν ἀνακτήσοιντο μαθηταί,
Δερκόμενοι σέθεν ἔργα σοφῷ τετελεσμένα μύθῳ.
Οὐ γάρ τις μερόπων ὑποκόλπιον ἔργον ὑφαίνει,
Ἔργον ἀθηήτῳ κεκαλυμμένον ἀχλύϊ σιγῆς,
Ἀμφαδίην δ' ἐθέλει θρασὺς ἔμμεναι. εἰ τάδε ῥέξεις
Ποικίλα θαύματα, δεῖξον ὁρώμενα θαύματα κόσμῳ.
Τοῖα μάτην ἀγόρευον, ἀπειθέες οἷά περ ἄλλοι·
Χριστοῦ παμμεδέοντος ἀδελφειοί περ ἐόντες,
Πίστιος ἀπλανὲς ἦθος ἀπηρνήσαντο καὶ αὐτοί.
Καί σφιν ἄναξ ἀγόρευεν ἀμοιβαίῳ τινὶ μύθῳ,
Οὔπω καίριος ἦλθεν ἐμὸς χρόνος· ὑμέτερος δὲ
Πέπταται αἰὲν ἕτοιμος, ἐλεύθερος. οὐ δύναται γὰρ
Ζηλομανὴς ποτὲ κόσμος ἐθήμονι λαίλαπι λύσσης
Ὑμέας ἐχθαίρειν· ἐμὲ δὲ στυγέει καὶ ἐλαύνει
Θαρσήεις, ὅτι μοῦνος ἀφειδέϊ μάρτυρι φωνῇ
Ἠθάδος ἀμπλακίης ἐγκύμονα κόσμον ἐλέγχω,
Ἔργα τάπερ τελέει βοόων ἀλλότρια θεσμῶν.
Ὑμεῖς εὐκελάδοιο μετέλθετε κῶμον ἑορτῆς·
Οὔπω ἐγὼ κλισίας νεοπηγέας ἄρτι γεραίρων,
Ἐς τελετὴν ὁσίην ἐπιβήσομαι. ἡμετέρου γὰρ
Οὔπω μοὶ τετέλεστο χρόνου δρόμος. Ὣς ὁ μὲν εἰπὼν,





Terram ad mare fundatam peruadens Galilææ.
Non enim Iudæorũ in ſolo volebat ſancto ambulare,
Quia ipſum fallaci dolo volebant perdere
Filii Iudæorum, ſancta gaudentes pernicie.
Erat autem Deo publicum anniuerſarium propè feſtum,
A fixis tabernaculis dictum: propinqui autem
Fratres falſi quadruplices filii Ioſeph,
Chriſtum incitantes, concordem ſonuerunt vocem,
Hinc diſcede, &, quando celebratio feſti [eſt]
Feſtina Iudææ finitimam terram accedere,
Vt conuertentes incredulum populum errantem,
Veterem in te fidem recuperent diſcipuli,
Videntes tua opera ſapienti perfecta verbo.
Non enim aliquis hominum occultum opus te
Opus inuiſibili occultatum caligine ſilentii,
Apertè verò vult audax eſſe. ſi hæc facies
Varia miracula, oſtende perſpecta miracula mundo.
Talia fruſtrà dicebant, increduli ſicut & alii:
Chriſti omnium rectoris fratres licet exiſtentes,
Fidei firmum morem abnegarunt & ipſi.
Et ipſis Rex dixit reſponſiuo quodam ſermone,
Nondum opportunum venit meum tempus: veſtrum autem
Volat ſemper promptum, liberum. non poteſt enim
Inſaniens vnquam mundus conſueta procella rabiei
Vos odiſſe: me autem odit & expellit
Audax, quia ſolus non parcente teſtificante voce
Conſueto peccato refertum mundum redarguo,
Opera quæ facit clamans aliena à lege.
Vos ſonori accedite ad celebrationem feſti,
Nondum ego tentoria recens fixa iam honorans,
Ad feſtum ſacrum aſcendam. noſtri enim
Nondum mihi completus eſt temporis curſus. Sic ille dicens

Ἔστιχεν ἁγνὸν ἔδεθλον ἀκερσεκόμων Γαλιλαίων.
Γνωτοὶ δ' ὡς ἀνέβαινον ἐς ἱερὸν, ὀψὲ καὶ αὐ-
τὸς
Ἔνθεον ἴχνος ἔκαμψεν ἐς ἀρτιχόρευτον ἑορ-
τήν.
Καί μιν Ἰουδαῖοι φιλίῃ μάστευον ἀνάγκῃ,
Πῆ μοι ἔβη; ποῖ κεῖνος; Ὑποτρύζοντι δὲ λαῷ
Μυρίος ἔρρεε μῦθος ἀσιγήτων ἀπὸ λαιμῶν.
Καὶ πολέες φθέγξαντο θεουδέα μάρτυρα φωνήν,
Ὅττι σοφὸς τελέθει, καὶ ὑπέρτερα θαύματα τεύχει.
Ἄλλοι δ' ἀντερίδαινον ὁμογλώσσων ἀπὸ λαι-
μῶν,
Οὐ σοφὸς, οὐ σοφὸς οὗτος ἐτήτυμον· ἀγρομένου δὲ
Λαοῦ, κλεψινόοισι παραπλάζει φρένα μύθοις.
Τοῖα μὲν ἀλλήλοισιν ὁμίλεον. ἀμφὶ δ' ἄρ' αὐτοῦ
Οὔ τότε τολμήσας τις ἀδειμάντῳ τινὶ φωνῇ
Ἀμφαδίην ὀάριζεν, ἐλεύθερα χείλεα λύσας,
Τάρβος Ἰουδαίων πεφυλαγμένος. ὀψιφανὴς δὲ
Ἤδη μυστιπόλοιο μέσην περὶ νύσσαν ἑορτῆς,
Ἰησοῦς ἀνέβαινεν· ἐν εὐλαΐγγι δὲ νηῷ
Ἀγρομένων ἐδίδαξεν ὁμοζυγέων στίχα φωτῶν.
Καί μιν Ἰουδαίων ἐπεθάμβεεν ἑσμὸς ἐχέφρων.
Ἀλλήλοις δ' ὀάριζον ἀμοιβαδὶς ἄλλος ἐπ'
ἄλλῳ,
Αὐτόματος πόθεν οὗτος ἐρεύγεται ἔγγραφον αὐδήν;
Γράμματα πῶς δεδάηκεν, ἃ μὴ μάθεν ἴδμονι τέχνῃ;
Γράμματα πῶς ἀδίδακτος ἐπίσταται; Εἰρομέ-
νοις δὲ,
Θεσπεσίοις στομάτεσσιν ἄναξ ἠρεύγετο φωνήν,
Οὐ διδαχὴ πολύϊδρις ἐμὴ πέλεν, ἀλλὰ τοκῆος
Ὅστις ἐμὲ προέηκεν. ἀνὴρ δέ τις, ἣν ἐθελήσῃ,
Γνώσεται ἡμετέρης διδαχῆς χάριν, εἰ γενετῆρος
Ἔστι τις οὐρανίη θεόθεν δόσις, ἢ ἐγὼ αὐτὸς
Φθέγγομαι ἐξ ἰδίων ὀάρων αὐτόσσυτον αὐδήν.





Peruasit sanctum solum intonsorum Galilæorum.
Fratres autem quum ascendissent ad templum, serò
& ipse
Diuinum vestigium flexit ad nuper celebratum fe-
stum.
Et ipsum Iudæi chara quærebant necessitate,
Quò iuit? vbi ille? Mussitanti verò populo
Infinitus fluebat sermo non tacentibus à gutturibus.
Et multi dixerunt piam testificantem vocem,
Quòd sapiens est, & eximia miracula facit.
Alii autem contrà contendebant consentiente ex gut-
ture,
Non sapiens, non sapiens hic verè: collecti verò
Populi mentem fallentibus decipit animum verbis.
Talia quidem inter se conferebant: de eo autem
Non tunc audax aliquis intrepida quadam voce
Apertè loquutus est, libera labia soluens,
Terrorem Iudæorum cauens. serò apparens autem,
Iam sacrifici mediam circa metam festi,
Iesus ascendit: in lapidoso autem templo
Congregatos docuit coniugatorum ordines virorũ.
Et ipsum Iudæorum admirabatur cœtus prudens.
Inter se autem loquebantur alternatim alius ad a-
lium,
A seipso vnde hic eructat scriptam vocem?
Literas quomodo scit, quas non didicit sciente arte?
Literas quomodo non edoctus nouit? Interroganti-
bus autem,
Piis oribus Rex eructauit vocem,
Non doctrina multiscia mea est, sed patris
Qui me præmisit: vir verò aliquis, si voluerit,
Cognoscet nostræ doctrinæ gratiam, an parentis
Sit aliquod cœlestis diuinum donum, an ego ipse
Loquar ex propriis dicens sponte excitatam vocem.

Πᾶς βροτὸς ὃς λέξειεν ἑὴν ὑψήνορα τιμὴν,
Ἐξ ἰδίης σοφίης ἐπιμάρτυρος αὐτὸς ἑαυτῷ,
Μαστεύει βροτὸς οὗτος ἑὸν κλέος· ὃς δὲ τελέσσει
Νεῦμα θεοῦ πέμψαντος, ἀναίτιος οὗτος ὁδεύει
Οἶμον ἐτητυμίης, καὶ ἀτάσθαλον οὐδὲν ἐν αὐτῷ.
Καί σφιν ἄναξ ἀγόρευεν ἀμοιβαδὶς, Οὐ παρὸς ὑμῖν
Μωσῆς θεσμὸν ἔδωκε φόνου ποινήτορα φωτῶν;
Καὶ πόθεν ὑψίστοιο θεοῦ λόγον ἥρπασαν αὖραι;
Οὐδέ τις ὑμείων τελέει νόμον, ὅττι με μοῦνον
Πάντες ἀποκτείνειν κρυφίῳ μαστεύετε πότμῳ.
Καί οἱ λαὸς ἔλεξε, Τεὸν νόον οἶστρος ἐλαύνει
Δαίμονος ἠερίοιο· τίς ἱμείρει σε δαμάσσαι;
Ἰησοῦς δ᾽ ἀγόρευε σοφὸν νόμον, ᾧ ἔπι
λαοὶ
Μυστιπόλῳ στεφανηδὸν ἀποκλέπτοντι προσώπῳ
Ἄκρον ἀποτμήγουσι τελεσσιγόνου σκέπας αἰδοῦς.
Ἓν μόνον ἔργον ἔρεξα, καὶ εὐσεβέος χάριν ἔργου
Πάντες ἐμοὶ μέμφεσθε τεθηπότες. οὗ χάριν
ὑμῖν
Μωσῆς θεσμοφόροιο τομὴν παρέδωκε σιδήρου·
Οὐχ ὅτι που Μωσῆος ἔην γέρας, ἀλλὰ τοκήων
Ὑμετέρων δόσις ἔσκε· καὶ ἀρχεγόνῳ τινὶ θεσμῷ,
Ἑβδομάτης ὅτε φέγγος ἐθήμονος ἔρχεται ἠοῦς,
Ἀρτιγενῆ λοχίῳ περιτέμνετε φῶτα σιδήρῳ,
Ἔννομα μὴ Μωσῆος ἀνέγγυα δεσμὰ λυθείη;
Εἰ δὲ τομὴν ὁσίην δέχεται βροτὸς ἠθάδι χαλ-
κῷ,
Πάντες ἐμοὶ βαρύμηνιν ἐγείρετε κόμπον ἀπειλῆς,
Εἰ πάλιν ὔμμιν ὄπασσα σεσηπότα κυκλάδι νούσῳ,
Ὁππότε σάββατον ἦεν, ἐμῷ χραισμήτορι μύθῳ
Ζωγρήσας ὅλον ἄνδρα, καὶ οὐ τμητῆρι σιδήρῳ,
Κρίνατε μὴ βροτέῃσι χάριν τίνοντες ὀπωπαῖς,
Ἀλλὰ δίκην κρίνοντες ἀληθεῖ τάμνετε μύθῳ,
Ὄφρα θέμιν χρονίοιο προτιμήσητε προσώπου.

Καὶ



Omnis homo qui dixerit suum gloriosum honorem,
Ex propria sapientia testificans ipse sibiipsi,
Quærit homo hic suam gloriam : qui verò perfecerit
Voluntatem Dei mittentis,insons hic incedit
Semitam veritatis,& perniciosum nihil in ipso.
Et ipsis Rex dixit vicissim,Non antea vobis
Moses legem dedit cædis vltricem virorum?
Et vnde altissimi Dei verbum rapuerunt venti?
Neque aliquis ex vobis facit legem, quia me solum
Omnes interficere occulta inquiritis morte.
Et ei populus dixit, Tuam mentem stimulus impellit
Dæmonis aerei? quis cupit te domare?
Iesus autem dixit sapientem legem, propter quam
populus
Sacrifica circulariter occulta facie
Summum abscindit prolifici munimentum pudendi,
Vnum solum opus feci,& pium propter opus
Omnes me reprehenditis stupefacti : cuius gratia
vobis
Moses legiferi sectionem tradidit ferri,
Non quòd Mosis erat munus,sed patrum
Vestrorum donatio erat:& primæua quadam lege,
Septimæ quando lumen consuetæ venit auroræ,
Recèns genitũ natalitio circumciditis virum ferro,
Legitima ne Mosis sine sponsione vincula soluantur?
Si verò sectionem sanctam recipit homo consueto
ferro,
Omnes mihi infestum excitatis strepitum minarum,
Si rursus vobis præbui putrefactum circulari morbo,
Quum sabbatum esset,meo opitulante verbo
Vegetans totum hominem,& non secante ferro?
Iudicate non mortalibus gratiam tradentes oculis,
Sed iustitiam iudicantes,vero secate verbo,
Vt iustitiam antiqua pluris æstimetis facie.

Καὶ ζαθέου τινὲς εἶπον ἀπ' ἄστεος Ἱεροσολύ-
μων,
Ἀτρεκὲς οὐ πέλεν οὗτος ὃν ἰχνεύουσι δαμάσσαι
Συμμιγέες ναετῆρες ἀλοιητῆρι σιδήρῳ;
Ἠνίδε πῶς παλίνορσος ὅλῳ ἐπιήτορι λαῷ
Ἀμφαδίην ἀδόνητος ἐρεύγεται ἤθαδα φωνήν,
Ἦ ῥα θεογλώσσων μερόπων ἀΐοντες ἰωήν,
Ἄστεος ἡγεμονῆες, ἐμοὶ δεδάασι πολῖται
Χριστὸς ὅπως πέλεν οὗτος; ἄναξ δ' ὅτε Χριστὸς
ἱκάνει,
Οὔτις ἀνὴρ δεδάηκε πόθεν πέλεν. ἴστε δὲ τοῦτον.
Ἰησοῦς δ' ἰάχησεν ἐν ἀργυροτερπέϊ νηῷ,
Ἴστε περισσονόῳ καὶ ἐμὲ ξυνήονι μύθῳ,
Ἴστε καὶ ὁππόθεν εἰμί· καὶ εἰ τόδε κεύθετε σιγῇ.
Οὐδὲ γὰρ αὐτοκέλευστος ἐς ὑμέας ἐνθάδε βαίνω,
Ἀλλὰ πατὴρ ἐμός ἐστιν ἀληθινὸς εἵνεκα πομπῆς.
Αὐτὰρ ἐγὼ μάλα τοῦτον ἐπίσταμαι, ὅττι παρ' αὐτοῦ
Αὐτὸς ἔβην, καὶ κεῖνος ἐμὲ προέηκεν ἱκάνειν.
Καί τινες οἰστρηθέντες ἐπεσσεύοντο πιέζειν
Ἰησοῦν παλάμῃσιν ἀφειδέσιν· οὐδέ τις αὐ-
τῶν
Χεῖρας ἑὰς δασπλῆτας ἐπήγαγεν, ὅττι οἱ αὐτῷ
Οὔπω πατρόθεν ἦλθε θελήμονι φοίνιος ὥρη.
Καὶ πολέες πίστευον ἀγειρομένων ἀπὸ λαῶν·
Ἰησοῦν δ' ἐγέραιρον ὁμοφθόγγῳ τινὶ μύθῳ,
Μὴ γὰρ Χριστὸς ἄναξ λαοσσόος εἴποθεν ἔλ-
θοι
Ἔργων ὧν ῥέξεν οὗτος ὑπέρτερα θαύματα ῥέξει
Λυσιπόνοις στομάτεσσι; πολυγλώσσοιο δὲ λαοῦ
Μεμφομένην ἀχάλινον ὑποτρύζοντος ἰωήν,
Ἔκλυε λαὸς ἄπιστος ἁμαρτινόων Φαρι-
σαίων.
Καὶ φθονεροὶ προΐαλλον ὀπάονας ἀρχιερῆες,
Ἰησοῦν ἀκίχητον ἀφειδέϊ χειρὶ πιέζειν.





Et diuina quidam dixerunt à ciuitate Hierosoly-
morum,
Verè non est hic quem quærunt domare
Promiscui ciues pernicioso ferro?
Ecce quomodo reciprocus toti spectanti populo
Apertam imperterritus eructat consuetam vocem.
Num deiloquorum hominum audientes vocem,
Ciuitatis principes nouerunt ciues
Christus quòd est hic? Rex autem quando Christus
venit,
Nullus vir nouit vnde scit: scitis autem hunc.
Iesus autem sonuit in argento splendente templo,
Scitis solertes & me socio sermone,
Scitis & vnde sim, etsi hoc occultetis silentio.
Non enim à meipso ad vos huc venio,
Sed pater meus est verus propter legationem:
Sed ego valde hunc scio, quia ab ipso
Ego veni, & ille me præmisit venire.
Et quidam stimulati concitabantur capere
Iesum manibus non parcentibus: neque quis i-
psorum
Manus suas graues iniecit, quia ei
Nondum à patre venit volenti cruenta hora.
Et multi crediderunt congregato ex populo:
Iesum verò honorabant consono quodam sermone,
Num Christus Rex populum seruans siquando ve-
nerit,
Operibus quæ fecit hic præstantiora miracula faciet
Dolorifrago ore? verbosum verò populum
Querulam, effrænem mussitantem vocem,
Audiuit populus incredulus mente errantium Pha-
risæorum.
Et inuidi præmiserunt ministros pontifices,
Iesum incomprehensibilē crudeli manu vt caperent.

Καί σφιν ἄναξ ἀγόρευεν, ἀσημάντῳ τινὶ μύθῳ
Θεσπίζων ταχύποτμον ἑὴν αὐτάγρετον ὥρην,
Ὑμείων ἔτι βαιὸν ἐπὶ χθονὸς ἐγγύθι μίμνω,
Καὶ ταχὺς ἵξομαι αὖθις ἐμῷ πέμψαντι τοκῆϊ·
Καί με παλιμπετέες μαστεύσετε. μαιόμενοι δὲ
Οὐκ ἂν ἐφευρήσαιτε, καὶ οὐ σθένος ἐστὶ περῆσαι
Ὑμέας ἴχνος ἄγοντας ἐς ἀτραπὸν ἥνπερ ὁδεύσω.
Ἀλλήλοις δ' ἀγόρευεν ὁμιλαδὸν αὐτόθι λαὸς,
Πῇ μέλλει μετὰ βαιὸν ἀπόσσυτος οὗτος ἱκάνειν;
Μὴ σπεύδει περίφοιτος ἐς ἄστεα γείτονα βαίνειν,
Ἧχι πανελλήνων σποράδες στίχες, ὄφρα καὶ αὐτὸν
Θεσμὸν ἑῆς σοφίης Ἑλλήνια τέκνα διδάξῃ;
Τίς δὲ πέλει λόγος οὗτος ὃν ἔννεπε μάρτυρι
λαῷ;
Πολλά με μαστεύσητε παλίνδρομον ὀψὲ νοῆσαι,
Κοὐδὲν ἐφευρήσητε· καὶ οὐ θέμις ὁππόθι βαίνω
Ὑμέας ἱμείροντας ἀνέμβατον οἶμον ὁδεύειν.
Ἀλλ' ὅτε λοίσθιον ἦλθε χοροστάδος ἦμαρ ἑορ-
τῆς,
Χριστὸς ἄναξ ἕστηκε λιθώδεος ἐγγύθι νηοῦ.
Ἑβραίοις δ' ἰάχησε χέων πανθελγέα φω-
νὴν,
Εἴ τις δίψαν ἔχει θυμοφθόρον, εἰς ἐμὲ βαίνων
Πηγῆς ἡμετέρης πιέτω ψυχοσσόον ὕδωρ.
Πᾶς γὰρ ὁ πίστιν ἔχων σόος ἔσσεται. ἀρχεγόνου δὲ
Οἷα θεοῦ φάτο μῦθος, ἀεὶ διὰ γαστρὸς ἐκείνου
Ἔμφρονες αὐτοχύτῳ ποταμοὶ ζείοντι ῥεέθρῳ,
Ἐνδόμυχον βλύσουσι παλιμφυὲς ἔνθεον ὕδωρ.
Εἶπε προθεσπίζων ἐπιδήμιον ὄψιμον αἴγλην
Πνεύματος, οὗπερ ἔμελλε τυχεῖν θεοδέγμονι θυ-
μῷ
Πᾶσα πολυσπερέων μερόπων πειθεῖσα γενέθλη.
Οὔπω γὰρ βροτέῃσιν ἐνερρίζωτο μενοιναῖς
Χριστὸς ἄναξ γενέταο φανεὶς ἀγχίθρονος ἕδρης.

Πολλοὶ δ'



Et ipsis Rex dixit, obscuro quodam sermone
Vaticinans celeris fati suam voluntariam horam,
Vestram adhuc parum super terram propè maneo,
Et celer veniam rursus ad meum mittentem patrem,
Et me retrogradi quæretis. cupientes autem
Non inuenietis: & non potestis transire
Vos vestigium ducentes in viam quam ego ibo.
Inter se autem loquebatur gregatim ibi populus,
Quò vult post pusillum discedens hic abire?
Num festinat vagus ad ciuitates vicinas ire,
Vbi gentilium sparsæ acies? vt & ipsam
Legem suæ sapientiæ Græcorum filios doceat?
Quis verò est sermo hic quem dixit testificanti po-
pulo?
Multum me quæretis reuersum serò cognoscere,
Nec inuenietis: & non fas est quo vado
Vos desiderantes inaccessam viam ambulare.
Sed quando vltima venit choreas instaurantis dies
festi,
Christus rex stetit lapidoso in templo.
Hebræis verò sonuit fundens omnes mulcentem
vocem,
Siquis sitim habet animicidam, ad me veniens
Fontis nostri bibat animam seruantem aquam.
Omnis enim fidem habens saluus erit. priscus verò
Sicut Dei dixit sermo, semper per ventrem illius
Prudentia per se fuso flumina viuente fluxu
Abditam fundent rursus natam diuinam aquam.
Dixit vaticinans aduenientem serum splendorem
Spiritus, quem acceptura erat Deum recipiente a-
nimo
Omnis variorum hominum credula generatio.
Nondum enim humanis stabilitus erat mentibus
Christus rex patris visus propinquus sedens sede.

Multi

Πολλοὶ δ' εἰσαΐοντες ὁμοφραδέων τότε λαῶν,
Χείλεσι πιστοτάτοισι πολύστομον ἔβρεμον ἠχὼ,
Οὗτος ὃν ἔγραφε μῦθος, ἐτήτυμός ἐστι προφήτης.
Οἱ δὲ, διχοστασίης ἀδαήμονες, εἶχον ἀοιδὴν,
Χριστὸς ἄναξ πέλεν οὗτος. Ἀμιλλητῆρι δὲ μύθῳ,
Ἄλλοι θεσμοφόρων στομάτων πετάσαντες ὀχῆας,
Θέσφατα μυθήσαντο σοφῇ κεχαραγμένα βίβλῳ,
Μὴ γὰρ ἁλικρήπιδος ἐλεύσεται ἐκ Γαλιλαίης
Χριστὸς ἄναξ; οὐ τοῦτο θεηγόρος ἔννεπεν ὀμφή·
Δαβὶδ δ' ἀρχεγόνου βασιλήϊον αἷμα κομίζων
Χριστὸς Ἰουδαίοισι φανήσεται αὐτὸς ἀκούων,
Πατρίδος ὁππόθι δῶμα λυρηκτύπος ᾤκεε Δαβὶδ
Βηθλεὲμ μηλοβότοιο. Μεριζομένοιο δὲ λαοῦ
Ἀμφιλαφὴς διχόμητις ἔην ἔρις. ἀπροϊδεῖς δὲ
Ἀφραδέες τινὲς ἄνδρες ἐπειρήσαντο πιέζειν
Ἰησοῦν, ἀδίκῳ ὑπὸ πνεύματι δημογερόντων·
Ἀλλά μιν οὔτις ἔμαρψεν· ἐπεὶ πυμάτη πάλιν αὐτῷ
Οὔπω ἐπιτρέψαντι παρίστατο λοίγιος ὥρη.
Καὶ πινυτοὶ νόστησαν ἐς ἀντιθέους ἱερῆας
Θαμβαλέοι θεράποντες· ἐμυθήσαντο δ' ἐκεῖνοι,
Τίπτε μιν οὐ κομίσασθε; Καὶ ἔννεπον ἔμφρονι μύθῳ
Ἀπλανέες δασπλῆτος ὑποδρηστῆρες ἀνάγκης,
Οὐχ οὕτω βροτὸς ἄλλος ἴσην ἐφθέγξατο φωνήν.
Καὶ θρασὺς εἶπεν ὅμιλος ἀκηλήτων Φαρισαίων,
Μὴ σφαλερῇς πραπίδεσσι παρεπλάγχθητε καὶ ὑμεῖς,
Πειθόμενοι κείνοιο νοήμασι; μή τις ἐς αὐτὸν
Ἡγεμόνων πίστευσεν, ἢ ἀγχινόων Φαρισαίων;
Εἰ μὴ δῆμος οὗτος ἀτάσθαλος ἐπλὸς ἀλήτης,
Ὃς νόμον ἀγνώσσων βακχεύεται, ἔμπλεος ἀρῆς.
Ἀφνειῇ δὲ φάλαγγι χέων νεμεσήμονα φωνὴν





Multi verò audientes consentientis tunc populi,
Labiis credulis multiplicem fremuerunt sonum,
Hic quem descripsit lex verus est propheta.
Alii verò, controuersiæ inscii, habebant præconium,
Christus rex est hic. Contentioso autem sermone,
Alii legiferorum orum soluentes repagula,
Oracula dixerunt sapienti signata libro,
Num maritima veniet ex Galilæa
Christus rex? non hoc deiloquus dixit sermo:
Dauid sed prisci regium sanguinem ferens
Christus Iudæis apparebit ipse vocatus,
Patriæ vbi domum citharœdus habitauit Dauid
Bethlehem oues pascentis? Diuisi verò populi
Continua diuersi consilii erat contentio. Improuidi autem
Imprudentes quidam viri tentarunt capere
Iesum, iniusto instinctu seniorum:
Sed ipsum nullus comprehendit. nam vltima ipsi
Nondum committenti adstetit mortifera hora.
Et prudentes reuersi sunt ad Deo contrarios sacerdotes
Stupentes ministri: dixerunt autem illi,
Cur ipsum non adduxistis? Et dixerunt prudēti sermone
Non errantes grauis ministri necessitatis,
Non sic homo alius æqualem loquutus est vocem.
Et audax dixit cœtus intractabilium Pharisæorum,
Num errante mente seducti estis & vos,
Credentes illius sententiis? num aliquis in eum
Principum credit, vel perspicacium Pharisæorum?
Nisi popularis hic improbus cœtus errans,
Qui legem ignorans insanit, plenus execrationibus.
Abundanti autem agmini fundens obiurgatricem vocem

Ἀγχιφανὴς Νικόδημος ἀμείβετο, πάντας ἐλέγχων,
Μὴ γὰρ Ἰουδαίων νόμος ἔνθεος ὀξέϊ θυμῷ
Οἶδε κατακρίνειν, εἰ μὴ πάρος ἀνδρὸς ἀκούων
Φθεγγομένου κρίνειε δικασπόλος ἴδμονα φωνὴν,
Ἔργα τάπερ τελέει νοέων ὑπὸ μάρτυρι μύθῳ;
Καὶ χορὸς ἀντιάχησε θεμιστοπόλων Φαρισαίων,
Μεμφόμενος Νικόδημον ἀμεμφέα, Μὴ σὺ καὶ
αὐτὸς
Αἷμα φέρεις Γαλιλαῖον; ἀμοιβάδα βίβλον ἑλίσσων,
Ἕζεο μαστεύων, καὶ γνώσεαι ὅττι προφήτης
Οὔπω ποικιλόμυθος ἐγείρεται ἐκ Γαλιλαίης.
Ἰησοῦς δ' ἀγόρευε, χέων λαοσσόον αὐ- Κεφ. η.
δὴν,
Εἰμὶ φάος κόσμοιο λιπαυγέος· ὃς δέ μοι ἀνὴρ
Πιστὸν ὁμαρτήσειεν ἔχων νόον, οὔποτε βαί-
νει
Ποσσὶν ἀλωομένοισι σκιοειδέα κῶνον ὀμίχλης,
Ἀλλὰ καταυγάζειεν, ἔχων ὁμόφοιτον ἐν αὐτῷ
Ζωῆς ἀπλανέος φάος ἔμπεδον. Ἀπροεπὴς δὲ
Λαὸς Ἰουδαίων ἐπεβόμβεε θυάδι φωνῇ,
Μαρτυρίην ἰδίην ἐνέπεις ὑψαύχενι μύθῳ.
Μάρτυρος οὐ σέο μῦθος ἐτήτυμος. Εἶπε καὶ αὐτὸς,
Γλώσσης ἀενάοιο θεόρρυτον ὄμβρον ἰάλλων,
Εἰ καὶ μαρτυρίῃσιν ἐμὸν κλέος αὐτὸς ἀέξω,
Ἀψευδὴς πέλε μάρτυς ἐμὸς λόγος. ἀμφότερον δὲ
Μοῦνος ἐγὼ νοέω πόθεν ἤλυθον, ἢ πόθι βαίνω·
Ὑμεῖς δ' οὐκ εἰδείητε πόθεν γενόμην, πόθεν ἔστιν.
Ὑμεῖς εἰσορόωντες ἐμὴν βροτοειδέα μορφὴν,
Ἀνδρομέην κατὰ σάρκα δικάζετε νήϊδι μύθῳ,
Οὔτινα μὲν κρίνοιμι θεμιστοπόλον στόμα λύσας.
Εἰ δ' ἄρα καὶ κρίνοιμι, δίκην ἰθεῖαν ὀρίζων,
Νημερτὴς καὶ ἄμεμπτος ἐμὴ κρίσις. οὐ γὰρ ἐ-
λέγχων
Εἰμὶ μόνος, μεθέπω δὲ καὶ ὑψιμέδοντα τοκῆα,





Vicinus Nicodemus respondit, omnes redarguens,
Num verò Iudæorum lex diuina celeri animo
Nouit condemnare, nisi antea virum audiens
Loquentem iudicauerit iudex sciente voce,
Opera quæ perficit cognoscens testificante sermone?
Et cœtus respondit legisperitorum Pharisæorum,
Reprehendens Nicodemum irreprehensibilē, Num
& tu ipse
Sanguinem fers Galilæum? alternū librum voluens
Sede inquirens, & cognosces quòd propheta
Nunquam disertus excitatur ex Galilæa.
Iesus autem dixit, fundens popu- Cap. VIII.
los seruantem vocem,
Sum lux mundi obscuri: quicunque me vir
Fidelem sequutus fuerit habens mentem, nunquam
incedit
Pedibus errantibus vmbrosum per conum caliginis,
Sed splendebit, habens comitem in ipso
Vitæ non errantis lucem firmam. Maledicus autem
Populus Iudæorum obstrepebat furente voce,
Testimonium proprium dicis iactabundo verbo.
Testificans tuus sermo non est verus. Dixit autē ille,
Lingua ab æterna à Deo fluentem imbrem mittens,
Etsi testimoniis meam gloriam ipse auxero,
Verus est testificans meus sermo. vtrunque verò
Solus ego noui, vnde veni & quò vado:
Vos autem nescitis vnde sim, vnde venerim.
Vos aspicientes meam humanam formam,
Humanā iuxta carnem iudicatis inscio sermone,
Neminem quidem iudico legis peritum os soluens.
Si verò & iudicarem, iustitiam rectam discernens,
Infallibile & inculpatum meum est iudicium. non e-
nim redarguens
Sum solus, habeo verò & altiregentem patrem,

Ξυνὸν ἐμὸν συνάεθλον. ἐν ὑμετέροισι δὲ θεσμοῖς
Ἔστι θεογλώσσῳ κεχαραγμένον ἔμφρονι βίβλῳ,
Μαρτυρίη διδύμων ἑτερόθροος ἔπλετο φωτῶν.
Πιστὸς ἐγὼ γενόμην ἐπιμάρτυρος αὐτὸς ἐμαυτοῦ,
Ξυνὴν μαρτυρίην καὶ ἐμὸς γενέτης ἀγορεύει.
Ἑβραῖοι δ' ἐρέεινον ἀμοιβαίῳ τινὶ μύθῳ,
Τίς πέλεν ὅς σ' ἐφύτευσε πατὴρ τεός; Εἶπε καὶ
αὐτός,
Ἀμφοτέρους οὐκ ἴστε μιῇ δυσπειθέϊ βουλῇ,
Οὔτ' ἐμὲ παῖδα μολόντα, καὶ οὐ πέμψαντα τοκῆα.
Εἰ δ' ἐμὲ γινώσκοντες ἐπιστώσασθε μενοινήν,
Καί κεν ἀνεφράσσασθε καὶ ἡμέτερον γενετῆρα.
Κοίρανος ἔννεπε ταῦτα διδάγματα θέσκελα λαῷ,
Γαζοφύλαξ ὅθι χῶρος ἀκούεται· ὁππόθι πολλοὶ
Ποικίλα δῶρα φέροντες ἐπεστείχοντο πολῖται.
Οὐδέ τις αὐτὸν ἔμαρψεν, ἐπεὶ θανατηφόρον
αὐτῷ
Οὔπω λοίσθιον ἦλθε θεόσσυτον ἴχνιον ὥρης.
Καί σφιν ἄναξ ἀγόρευεν, Ἐμὴν ὁδὸν αὐτὸς ὁδεύσω,
Ὑμεῖς δ' ἀφραδέεσσιν ἐν ἤθεσι πάντες ἀλῆται,
Ῥιγεδανὴν μετὰ γῆρας ἐσαθρήσητε τελευτήν,
Ἀμπλακίῃ μεθέποντες ὁμήλικα λευκάδα
χαίτην.
Ἧχι δὲ πουλυέλικτον ἐμοῦ ποδὸς ἴχνος ἐπείγω,
Ὑμέας οὐ σθένος ἐστὶ μολεῖν διζήμονι ταρσῷ.
Καὶ θρασὺς Ἑβραίων κυμαίνετο λαὸς ἀκούων,
Ἄφρονα λωβητῆρι χέων ῥόον ἀνθερεῶνι,
Ἦ ῥα θανεῖν ἐθέλει βρόχιον μόρον; ἢ ξίφος ἕλκων,
Αὐτοφόνῳ διὰ γαστρὸς ὁμιλήσειεν ὀλέθρῳ;
Ἰησοῦς δ' ἐπέτασσε θεηγόρον ἀνθερεῶνα,
Μῦθον ἀμιλλητῆρα χέων λωβήτορι λαῷ,
Ὑμεῖς νερτερίοιο κατήλυδές ἐστε βερέθρου,
Ἐστὲ κάτω· καὶ ἄνωθεν ἐγὼ πέλον. ἐστὲ δὲ τούτου
Ὑμεῖς αὐτιδανοῖο γενέθλια πήματα κόσμου,

Ἐκ χθο-



Communem meum adiutorem. in veſtra autē lege
Eſt ſacro ſignatum prudenti in libro,
Teſtimonium duorum aliter ſonans eſt virorum.
Verax ego ſum teſtis ipſe mihi ipſi,
Commune teſtimonium & meus pater dicit.
Hebræi verò interrogarunt reſponſiuo quodam ſer-
mone,
Quis eſt qui te plantauit pater tuus? Dixit & ipſe,
Vtrunque neſcitis vno incredulo propoſito,
Nec me filium venientem, nec mittentem patrem.
Si verò me cognoſcentes infixiſſetis animo,
Etiam cognouiſſetis noſtrum parentem.
Dominus loquutus eſt hæc documēta diuina populo,
Gazophylacium vbi locus dicitur: vbi multi
Varia dona ferentes incedebant ciues.
Neque aliquis ipſum comprehendit. nam mortife-
rum ipſi
Nondum vltimum venit diuinum ſignum horæ.
Et ipſis Rex dixit, Meam viam ipſe ibo,
Vos verò inſipientibus moribus omnes errones,
Horrentem poſt ſenectutem inſpicietis finem,
Peccato habentes contemporaneos albos crines.
Quò autem multum flexum mei pedis veſtigium in-
cito,
Vos non poteſtis venire quærente pede.
Et audax Hebræorum turbabatur populus audiens,
Inſipientem contumelioſo fundens fluxum ore,
Num mori vult laquei morte? vel gladium ſtringens,
Propria cæde per ventrem incidet in mortem?
Ieſus verò aperuit diuiniloquum os,
Sermonem aduerſariū fundens conuitiatori populo,
Vos infimi deſcenſores eſtis barathri,
Eſtis ex imis: & ex alto ego ſum. eſtis autem huius
Vos vilis natiuæ noxæ mundi,

Ex

Ἐκ χθονὸς αἷμα φέροντες· ἐγὼ δ' ἐν ἀτέρμονι τιμῇ
Ξεῖνος ἔφυν κόσμοιο, καὶ οὐ βροτὸν οἶδα τοκῆα·
Ξεῖνος ἐγὼ κόσμοιο, καὶ αἰθέρος εἰμὶ πολίτης.
Ἀλλ' ὑμῖν ἀγόρευον ὅτι φθαμένῳ τινὶ πότμῳ
Εἰσέτι μαργαίνοντες ὁμιλήσετε βερέθρῳ,
Ἀμπλακίην φορέοντες ὁμόχρονον. ἀτρεκέως γὰρ
Εἰ μὴ ἐμὲ γνώσεσθε, τίς ἢ τίνος εἰμὶ τοκῆος,
Θνήσκετε δυσσεβίης ἐγκύμονες. Ὑψινόων δὲ
Λαὸς Ἰουδαίων φιλοπευθέα ῥήξατο φωνήν,
Τίς σὺ πέλεις; Καὶ Χριστὸς ἀνίαχεν, Ὅ, τί περ ὑμῖν
Ἐξ ἀρχῆς ἀόριζον, ἔχων νήριθμα δικάζειν
Καὶ λαλέειν. ἀλλ' ἔστιν ἐτήτυμος ὅς με γενέθλῃ
Ἀνδρομέῃ προέηκε· καὶ ἀτρεκὲς ὅσσα περ αὐτοῦ
Ἔκλυον, ἔμπεδα πάντα διέρχομαι ἄφρονι κόσμῳ.
Λαοὶ δ' οὐκ ἐνόησαν ὅτι σφίσιν εἶπε τοκῆα.
Ἰησοῦς δ' ἀπαμείπτο, θεηγόρα χείλεα λύσας,
Ὁππόταν εὐαγέεσσιν ἀνυψώσητε μερίμναις
Ἀνθρώπου σοφὸν υἷα, τότε γνώσεσθε καὶ αὐτοί
Ὅττι θεοῦ γενετῆρος ἀπόπροθεν οὐδὲν ὑφαίνω·
Ἀλλά μοι ὡς ἐπέτελλε πατὴρ ἐμός, εἰσέτι ῥέζω·
Ὅττι καὶ ὑψιμέδων γενέτης μετ' ἐμεῖο φαείνει.
Οὐδέ με μοῦνον ἔλειπεν, ἐπεὶ πεφυλαγμένα ῥέζω
Εἰς χρόνον ἐμπεδόκυκλον ἑαδότα πάντα τοκῆϊ.
Ταῦτα δὲ οἱ βοόωντι, πολυσπερέων στίχες ἀνδρῶν
Πίστιος ἀρρήκτοισιν ὑπεκλίνοντο λεπάδνοις.
Ἰησοῦς δ' ἀγόρευεν ἔπος νεοπειθέϊ λαῷ,
Αἴκεν ἐμοὶ πείθησθε, κυβερνητῆρι γὰρ μύθῳ
Ἡμετέρῳ μίμνητε, τότε γνώσεσθε καὶ αὐτοί
Οἶμον ἀληθείης θεοτερπέος. ἀτρεκίη γὰρ
Ὑμῖν πειθομένοισιν ἐλεύθερον ἦμαρ ὀπάσσει.
Ἑβραῖοι δ' ἰάχησαν ὁμογλώσσῳ τινὶ μύθῳ,
Ἀβραὰμ ἀρχεγόνοιο ῥυηφενέος γενετῆρος
Ἡμεῖς αἷμα φέροντες ἀδέσποτον, οὔ τινος ἀνδρῶν





Ex terra ſanguinem ferentes: ego autem in æterno honore
Peregrinus ſum in mundo, nec mortalem noui patrem.
Peregrinus ego in mundo, & cœli ſum ciuis:
Sed vobis dixi quòd præoccupante quodam fato
Adhuc inſanientes incidetis in barathrum,
Peccatum habentes coæuum. Verè enim
Niſi me cognoueritis, quis vel cuius ſim patris,
Moriemini impietate pleni. Superbus autem
Populus Iudæorum ſciſcitantem rupit vocem,
Quis tu es? Et Chriſtus reſpondit, Quod vobis
Ab initio dixi, habens infinita iudicare
Et loqui: ſed verus qui me generationi
Humanæ præmiſit: & verè quæcunque ab ipſo
Audiui, firma omnia enarro inſipienti mundo.
Populus verò non intellexit quòd ipſis dixiſſet patrē.
Ieſus autem reſpondit, diuina labia ſoluens,
Quando puris exaltaueritis animis
Hominis ſapientem filium, tunc cognoſcetis & ipſi
Quòd ſine Deo patre nihil texo:
Sed mihi ſicut præcepit pater meus, adhuc facio:
Quia & altiregens pater mecum illuceſcit:
Neque me ſolum reliquit, poſtquam obſeruata facio
In tempus firmi circuli beneplacita omnia parenti.
Hæc verè eo clamante, varia agmina virorum
Fidei firmis innitebantur vinculis.
Ieſus autem dixit verbum nauiter credenti populo,
Si mihi credideritis, & gubernante in verbo
Noſtro manſeritis, tunc cognoſcetis & ipſi
Viam veritatis Deum delectantis: veritas autem
Vobis credentibus liberum diem præbebit.
Hebræi autem ſonuerunt concordi quodam ſermone,
Abraham priſci diuitis patris
Nos ſanguinem ferentes liberum, nullius virorum

Αὐχένα δοχμώσαντες ἐδουλώθημεν ἱμάσθλῃ·
Καὶ πόθεν ἄμμιν ἔειπας, Ἐλεύθεροι ἐστὲ θανόντες,
Ἀτρεκίης τ' ἀχάλινον ἐσαθρήσητε γαλήνην.
Ἰησοῦς δ' ἐδίδαξεν ὑπέρβιον ἑσμὸν ἐλέγχων,
Πᾶς βροτὸς ἀμπλακίην τελέων ἀεσίφρονι θυμῷ,
Ἀμπλακίης πέλε δοῦλος· ἐν ἀθανάτῳ δὲ μελάθρῳ
Δοῦλος ἀλιτροσύνης αἰώνιος οὔποτε μίμνει
Ναιετάων· μίμνει δὲ φερέσβιος υἱὸς ἀμύμων,
Ναίων πάτριον οἶκον, ἕως χρονίην παρὰ νύσσην
Ἀσπεύων ἀκίχητος ἑλίσσεται ἔμπεδος αἰών.
Εἰ δέ κεν ὑμείων ἐλάσας δούλειον ἀνάγκην
Υἱὸς ἐλευθερίοισι κόμην στέψε πετήλοις,
Ἀμπλακίης ῥίψητε παλίλλυτα δεσμὰ λεπάδνων,
Ἦμαρ ἐλευθερίης πανετήτυμον ὀψὲ λαχόντες.
Ἀβραὰμ ἐστὲ γενέθλα σαόφρονος· (οἶδα καὶ αὐτός)
Ἀλλά με λαθριδίῳ κτανέειν μαστεύετε πότμῳ.
Οὐ γὰρ ἐμός ποτε μῦθος ἐς ὑμετέρην φρένα δύνει.
Ἑβραῖοι δ' ἰάχησαν ἀμοιβαίῳ τινὶ μύθῳ,
Ἡμείων γενέτης τελέθει προτόσπορος Ἀβραάμ.
Ἰησοῦς δ' ἀπαμείβετο, χέων ἀντίτυπον ὀμφήν,
Ὑμέας εἰ σοφὰ τέκνα φυτοσπόρος ἤροσεν Ἀβραάμ,
Καί κεν ἐποιήσασθε θεουδέος ἔργα τοκῆος,
Ἀβραὰμ ξεινοδόκοιο. θεημάχος ἐστὲ γενέθλη.
Εἰ φονίας δολόεντι μιαίνετε χεῖρας ὀλέθρῳ,
Ἔργοις ἀντιτύποισιν ὀπιστώσασθε γενέθλην.
Ἀβραὰμ οὐ μενέαινεν ἀναίτιον ἄνδρα δαμάσσαι·
Ἀβραὰμ οὐ κάμε τοῦτο θεοστυγές, ἀλλά που ὑμεῖς
Ἔργα δολορραφέος μενεαίνετε πατρὸς ὑφαίνειν.
Καὶ θρασὺς Ἑβραίων πάλιν ἔννεπε λαὸς ἀκούων,
Ἡμεῖς οὐ γενόμεσθα νόθης ἀπὸ μαχλάδος εὐνῆς,

Ἀλλὰ



Ceruicem curuantes serui fuimus scuticæ:
Et vnde nobis dixisti, Liberi eritis mortui,
Veritatis & liberam aspicietis tranquillitatem.
Iesus autem docuit superbum cœtum redarguens,
Omnis homo peccatum faciens insipienti animo,
Peccati est seruus: in æterna autem domo
Seruus iniquitatis æternus nunquam manet
Habitans: manet autem vitam ferens filius incul-patus,
Habitans in patria domo, donec temporalem apud metam
Transiens incomprehensibile voluitur firmum seculum.
Si verò vestram expellens seruilem necessitatem
Filius liberis comam coronauerit foliis,
Peccati abiicietis rursus solubilia vincula collariorũ,
Diem libertatis omnino verum serò sortiti.
Abraham estis soboles prudentis (scio & ipse)
Sed me occulto interficere quæritis fato.
Non enim meus vnquam sermo vestrã mentem subit.
Hebræi verò sonuerunt responsiuo quodam verbo,
Noster pater est progenitor Abraham.
Iesus autem respondit, fundens contrà sonantem vocem,
Vos si sapientes liberos plantator arasset Abraham,
Etiam faceretis pii opera patris,
Abraham hospitalis. Deo repugnans estis generatio.
Si homicidiales doloso polluitis manus exitio,
Operibus expressis confirmastis generationem.
Abraham non cupiebat insontem virum domare.
Abraham non fecit hoc Deo exosum: sed vos
Opera dolosi cogitatis patris texere.
Et audax Iudæorum rursus dixit populus audiens,
Nos non geniti sumus spurio ex meretricis cõcubitu,

Ἀλλὰ θεὸν μόνον ἴδμεν ἕνα ζώοντα τοκῆα.
Ἰησοῦς δ' ἀΐοντι πάλιν μυθήσατο λαῷ,
Εἰ θεὸς ὑμείων γενέτης πέλεν αἰθέρα ναίων,
Καί κεν ἐμὲ ξύμπαντες ἑνὸς γεγαῶτα τοκῆος
Ἀρραγέος φιλίης ἀλύτῳ ξυνώσατε δεσμῷ.
Καὶ γὰρ ἐγὼ θεόθεν πεφορημένος ἐνθάδε βαίνω,
Καὶ πόθεν οὐ θεόμυστιν ἐμὴν γινώσκετε φω-
νήν;
Ὑμέας οὐ σθένος ἐστὶν ἐμόν ποτε μῦθον ἀκούειν·
Ὑμεῖς δ' υἷα τέκνα δυσαντέος ἐστὲ τοκῆος,
Δαίμονος ἀντιπάλοιο, ποθοβλήτους τε μερίμνας
Πατρὸς ἀερσινόου μενεαίνετε πάντες ἀνύσσαι.
Αἰεὶ κεῖνος ἔην ἀνδροκτόνος, ἐξότε κόσμου
Ἐξ ἀρχῆς τετέλεστο θεμείλιον· οὐδ' ἐνὶ θεσμῷ
Μίμνεν ἀληθείης θεοπειθέος. οὐ γὰρ ἐν αὐτῷ
Ἦεν ἐτητυμίη. καὶ ὅτε σκολιόφρονι βουλῇ
Αἱμύλα κωτίλλων ἀπατηλόεα μῦθον ἰάλλει,
Φθέγγεται ἐξ ἰδίων, ὅτι λοίγιον ἦθος ἀέξων
Ψεύστης αὐτὸς ἔφυ, ψευδήμονος ἐκ γενετῆρος.
Ὑμῖν αὐτὸς ἔλεξα, καὶ οὐ πιστεύετε μύθῳ.
Τίς βροτὸς ὑμείων με δυνήσεται αὐτὸς ἐλέγξαι
Ἀμπλακίης ὀπῆρα; καὶ εἰ νημερτὲς ἐνίψω,
Τίπτέ μοι οὐ πείθεσθε σαόφρονι; πᾶς σοφὸς ἀνὴρ
Εἰς θεὸν αὐτογένεθλον ἔχων νόον, ἡδέϊ θυμῷ
Μύθους οὐρανίοιο θεοῦ ζώοντος ἀκούει.
Ὑμεῖς δ' εἰσαΐειν οὐ σπεύδετε θέσκελον ὀμφήν,
Ὅττι παρὲκ νέα τέκνα βιαρκέος ἐστὲ τοκῆος.
Καὶ θρασὺς Ἑβραίων ἐπεπάφλασε λαὸς ἀκούων,
Ἄφρονα λωβητῆρι χέων ἔπε' ἀνθερεῶνι,
Οὔ σε κακῶς κρίνοντες ἐλέγχομεν ἴδμονι
βουλῇ,
Ὅττι θεὸς ποιητὸς ἀέξηθης Σαμαρείταις,
Δαίμονος ἀμφιέπων μανιώδεα ῥοῖζον ἱμάσθλης.
Ἰησοῦς δ' ἀγόρευε πάλιν δυσπειθέϊ λαῷ,

Δαίμονος



Sed Deum solum scimus vnum viuentem patrem.
Iesus autem audienti rursus loquutus est populo,
Si Deus vester pater est cœlos habitans,
Etiam me omnes ab vno natum patre
Firmæ amicitiæ insolubili coniungeretis vinculo.
Etenim ego à Deo procedens huc venio,
Et quomodo non diuinã sapientem meam cognosci-
tis vocem?
Vos non potestis meum sermonem audire:
Vos hostiles filii auersandi estis patris,
Dæmonis aduersarii, & amabiles concupiscentias
Patris superbi cupitis omnes perficere.
Semper ille erat homicida, ex quo mundi
Ab initio perfectum est fundamentum: neque in lege
Mansit veritatis Deo credentis. non enim in ipso
Erat veritas: & quando iniqui animi voluntate
Blanda garriens deceptorium sermonem emittit,
Loquitur ex propriis, quia perniciosos mores habẽs
Mendax ipse est, mendace ex patre:
Vobis ipse dixi, & non creditis sermoni.
Quis homo inter vos me poterit ipse reprehendere
Peccati affectatorem? &, si verum dixero,
Cur mihi non creditis prudenti? quilibet sapiẽs vir
In Deum æternum habens mentem, suaui animo
Sermones cœlestis Dei viuentis audit.
Vos verò audire non festinatis diuinam vocem,
Quia non noui liberi vitalis estis parentis.
Et audax Hebræorum exæstuabat populus audiens,
Insipientes conuitiante fundens sermones ore,
Non te malè iudicantes reprehendimus sciente sen-
tentia,
Quòd Deus factus creuisti Samaritanis,
Dæmonis habens furentem impetum scuticæ.
Iesus autem dixit rursus incredulo populo,

Δαίμονος οὐ μεθέπει μελανίφρονος ἦχος ἱμάσθλης,
Ἀλλὰ θεὸν ζείδωρον ἐμὸν γενετῆρα γεραίρω
Τιμαῖς εὐαγέεσσιν. ἀτιμίῃ δέ με πολλῇ
Ὑμεῖς ἀφραδέοντες ἐλέγχετε κέντορι μύθῳ.
Τιμὴν δ' ἡμετέρην οὐ δίζομαι. ὑψινεφὴς γὰρ
Ἔστιν ὁ μαστεύων, καὶ ἐμὸν κλέος αἰὲν ἀέξων,
Καὶ κρίνων τότε μᾶλλον. Ἀμὴν δ' ἀμὴν ἀγορεύω,
Ὅστις ἐμῶν δέξαιτο θεοφραδέων στίχα μύ-
θων,
Καί κεν ἀσυλήτοισιν ὑπὸ πραπίδεσσι φυλάξοι,
Οὔποτε πικρὸν ὄλεθρον ἐσόψεται εἰσόκε μίμνῃ
Αἰὼν πουλυέλικτος. Ἐπεφθέγξαντο δὲ λαοί,
Νῦν ἔτι νῦν ἐδάημεν ἐτήτυμον ὅττι σε λύσσης
Δαίμονος ἠερόφοιτος ἀλάστορος οἶστρος ἐλαύνει.
Ἀβραὰμ ἔδρακε πότμον ὁ τηλίκος, οὐδὲ προφῆται
Ἔσθενον ἀτρέπτοιο φυγεῖν ὠδῖνας ὀλέθρου·
Καὶ σὺ τεῇ προχέων ὑψαύχενα κόμπον ἀπειλῇ,
Τολμήσας ἀγόρευες ὅτι βροτὸς αἴκε φυλάξῃ
Μύθους ἡμετέρους, οὐ γεύσεται αὐτὸς ὀλέθρου;
Ἀβραὰμ μὴ σὺ πέλεις θεοπειθέος αὐτὸς ἀρείων,
Ἡμετέρου γενετῆρος, ὃς ἀτρέπτῳ θάνε πότμῳ;
Καὶ θανάτου ξύμπαντες ἐπειρήσαντο προφῆται.
Εἰπὲ, τίνι προτέρων σε πανείκελον αὐτὸν ἀΐξεις;
Ἰησοῦς δ' ἀγόρευε, θεόσσυτα χείλεα λύσας,
Αἴκεν ἐπαινήσω, καὶ ἀγλαόεντα μῦθον ἐ-
νίψω,
Ὑψώσας ἐμὸν εὖχος, ἐμὸς λόγος οὐδὲν ὀνήσει.
Ἔστιν ὁ κυδαίνων με πατὴρ ἐμός, ὅς με γενέθλῃ
Ἀνδρομέῃ προέηκε μολεῖν ἰθύντορα κόσμου,
Ὃν θεὸν ὑμείων ἀδίκῳ κικλήσκετε μύθῳ.
Αὐτὰρ ἐγὼ μάλα τοῦτον ἐπίσταμαι. ἢν γὰρ ἐνίψω
Ὅττι μιν οὐ δεδάηκα, φανήσομαι ἄρτι καὶ αὐτὸς
Ὑμῖν ψευδομένοις ἀπατήλιος ἶσος ἀκούειν.
Ἀλλά μιν ἀλλά μιν οἶδα· καὶ ὡς ἐπέτελλε τελέσσαι,





Dæmonis non habeo atri ſonum ſcuticæ,
Sed Deum vitæ datorem meum genitorem honoro
Honoribus puris. ignominia verò me multa
Vos inſipientes culpatis ſtimulanti verbo:
Honorem verò noſtrum non quæro. ſublimis enim
Eſt quærens,& meam gloriam ſemper augens,
Et iudicans tunc magis. Amen Amen dico,
Quicunque meorum receperit diuiniloquorum agmi-
na verborum,
Et inuiolato in pectore cuſtodierit,
Nunquam amarum exitium inſpiciet donec mãſerit
Seculum volubile. Reſpondit autem populus,
Nunc amplius ſcimus verè quòd te rabiei
Dæmonis aereus exitioſi ſtimulus impellit,
Abrahã vidit fatum tam magnus,neque prophetæ
Potuerunt immutabilis fugere dolores mortis:
Tu verò tuis profundens iactabundum faſtum minis,
Audax dixiſti quòd vir ſi cuſtodierit
Sermones noſtros,non guſtabit ipſe exitium?
Abrahã num tu es,qui Deo credidit, ipſe præſtãtior,
Noſtro patre,qui immutabili mortuus eſt fato?
Et mortem omnes experti ſunt prophetæ.
Dic, cui ex prioribus teipſum omnino ſimilẽ dices?
Ieſus autem dixit,à Deo impulſa labia ſoluens,
Si laudauero me, & præſtantem ſermonem loquutus
fuero,
Attollens meam gloriam,meus ſermo nihil iuuabit:
Eſt glorificans me pater meus,qui me generi
Humano præmiſit venire rectorem mundi,
Quem Deum veſtrum iniuſto vocatis ſermone.
Sed ego valde hunc noui. ſi enim dixero
Quòd ipſum non nouerim,apparebo modò & ipſe
Vobis mendacibus deceptor æqualis vocatus.
Sed ipſum,inquam,noui: & ſicut præcepit perficere,

Οὕτως ἀκλινέεσσιν ἐν ἤθεσιν ἔμπεδα ῥέζω.
Ὑμείων γενέτης προτόσπορος ἔνθεος Ἀβραὰμ
Ἦμαρ ἐμὸν πολύευκτον ἰδεῖν ἠγάλλετο θυ-
μῷ·
Εἶδε, καὶ εὐφροσύνης ἐπεβήσατο. Θαμβαλέος δὲ
Λαὸς Ἰουδαίων ἀντίθροον ἔβρεμεν ἠχὼ,
Μήπω ἑλισσομένοιο χρόνου πολυκαμπέϊ νύσσῃ
Ἄντυγα πεντήκοντα διεπλήσας ἐνιαυτῶν,
Ἀβραὰμ πουλυέτηρον ἐδέδρακες; Εἶπε καὶ αὐ-
τὸς,
Ἀβραὰμ πρὶν γένος ἔσχεν, ἐγὼ πέλον. Αἰνομανὴς δὲ
Λᾶας ἔχων δυσπαλῆτας ἐπέρρεε λαὸς ἀγήνωρ,
Εἰσέτι μιν λαλέοντα καταχρύψαι μενεαίνων
Τρηχαλέῃ γλωχῖνι λιθοβλήτου νιφετοῖο.
Ἰησοῦς δ' ἀκίχητος ὑπὸ πτύχα κεύθετο
νηοῦ.
Σιγαλέοις δὲ πόδεσσι διερπύζων μέσος αὐτῶν,
Ἀπροϊδὴς πεφόρητο, λιθοσσόον ἐσμὸν ἐά-
σας.
Οὕτω μὲν παράμειβε. Παρεστείχων Κεφ. η.
δὲ κελεύθου
Ἥμενον ἄνδρ' ἐνόησε, τὸν ἐκ κόλποιο τεκούσης
Τυφλὸν ἔτι σπαίροντα λεχωΐδες ἔδρακον ὧραι·
Ὅστις ἔην περίφοιτος, ἀφωτίστοιο προσώπου
Συμφερτὴν, ἀμέριστον ἔχων, ἀχάρακτον ὀπωπὴν,
Ἣν φύσις οὐκ ἐτύπωσε· λιποβλεφάροιο δὲ κύ-
κλου
Οἰδαλέον ξένον ὄμμα γενέθλιος εἶχεν ὀμίχλη·
Καὶ βρέφος οὔποτε τοῖον ἀνόμματον ἥλικι κό-
σμῳ
Ἡνίοχος βιότοιο φυτοσπόρος ἤγαγεν αἰών.
Ἰησοῦν δ' ἐρέεινεν ὁμόστολος ἐσμὸς ἑταίρων,
Ῥαββὶν, ἀνειρομένοισι τίς ἤλιτεν εἰπὲ μαθηταῖς·
Οὗτος ἀλιτραίνων θεὸν ἤχαχεν, ἠὲ τοκῆες;

Εἰσόκε



Sic constantibus moribus firma facio.
Vester pater progenitor diuinus Abraham
Diem meum multum desideratum videre gestiebat
animo:
Vidit, & ad lætitiam ascendit. Stupefactus autem
Populus Iudæorum aduersum fremebat sonum,
Nondum voluti temporis flexuosa meta
Ambitum quinquaginta qui impleuisti annorum,
Abrahamum annosum vidisti? Dixit & ipse,
Abraham antequam genus haberet, ego eram. Insa-
niens autem
Lapides habens graues affluebat populus superbus,
Adhuc ipsum loquentem occultare cogitans
Aspero cuspide lapidibus iactæ niuis.
Iesus autem incomprehensibilis sub plicis occultaba-
tur templi.
Tacitis autem pedibus gradiens per medium ipso-
rum,
Improuisus ferebatur, lapidatorem cœtum relin-
quens.
Sic quidem euasit. Præteriens autem, Cap. IX.
ad viam
Sedentem virum animaduertit, quem è sinu matris
Cæcum adhuc palpitantem puerperæ viderunt horæ:
Qui erat circumambulans, lucis expertis faciei
Confertum, indiuisum habens, non signatum visum,
Quem natura non expressit: & oculos non habentis
circuli
Turgidum alienum oculum natalis habebat caligo:
Et infantem nunquam talem sine oculis coætaneo
mundo
Ductor vitæ parens produxit seculum.
Iesum autem interrogauit comes cœtus sociorum,
Rabbi, interrogantibus quis peccauit dic discipulis:
Hicne peccans Deum molestauit, vel parentes?

Quòd

Εἰ τόκε μιν διαπλῆτες ἐμαιώσαντο λοχεῖαι
Ἐκ μηδὲς λαγόνων, ἀλαώπιδι σύγχρονον ὄρφνῃ.
Ἰησοῦς δ᾽ ἐδίδαξεν ἀληθέϊ μάρτυρι φωνῇ,
Οὗτος ἀταsθαλέων οὐκ ἤλιτεν, οὐδὲ τοκῆες·
Ἀλλὰ λάχεν τόδε πῆμα θεήλατον, ὄφρα δι᾽ αὐτοῦ
Ἔργα θεοῦ γενετῆρος ἀλεξικάκοιο φανείη.
Ἡμέας ὑψίστοιο πέλει χρέος ἔργα τελέσσαι,
Ἔργα θεοῦ ζώοντος, ἕως ἔτι φαίνεται ἠώς.
Νὺξ δνοφερὴ μετὰ βαιὸν ἐλεύσεται· ἐρχομένης δὲ
Οὔτις ἀνὴρ κατὰ νύκτα δυνήσεται ἔργον ὑφαίνειν.
Ῥέξω δ᾽ εἰσόκεν ἦμαρ ἀέξεται. εἰμὶ δὲ κόσμου
Φέγγος ἐγὼ ζοφόεντος, ἕως ὅτε κόσμον ὁδεύω.
Εἶπεν ἄναξ, καὶ θεῖον ὑπὸ στόμα διψάδι γαίῃ
Λυσίπονον παλλευκον ἀπέπτυεν ἀφρὸν ὀδόν-
των·
Καὶ χθονίῳ κονίῃσι πεφυρμένον ἀφρὸν ἑλίσσων,
Πτύσματι πηλὸν ἔτευξε φαεσφόρον. ἰκμαλέον δὲ
Ἀνδρὸς ὄπῃ χρίσας λιποφεγγέϊ πηλὸν ὀπωπῇ,
Ἀνέρος ἔπλασεν ὄμμα, τὸ μὴ φύσις εὗρεν ὀ-
πάσσαι,
Ἀνέρος ἔπλασεν ὄμμα, καὶ ἀγλήνοιο προσώπου
Γράψας δίπτυχα κύκλα, μέσην ἐχάραξεν ὀπωπὴν,
Ὀφθαλμοὺς τελέων νεοτευχέας ἤθαδι πηλῷ
Ἐκ χοὸς ἀνδρογόνοιο· καὶ ἔννεπε θέσπιδι
φωνῇ,
Ἔρχεό μοι, καὶ νίπτε τεὸν ῥέθος ἧχι Σιλωὰμ
Πηγῆς ἀγχιπόροιο ῥέει πανδήμιον ὕδωρ,
Ὕδωρ στελλομένοιο προσώνυμον ἐκ σέο πομπῆς.
Χριστὸς ἔφη· καὶ τυφλὸς ἐπείγετο, καὶ παρὰ πηγῇ
Χερσὶ βαθυνομένῃσι φαεσφόρον ἤφυσεν ὕδωρ,
Ὕδασι πηγαίοισι λιπόσκια φάεα νίπτων.
Σμήξας δ᾽ ἀρτιτύπου τροχοειδέα κύκλον ὀ-
πωπῆς,
Ἐξαπίνης φάος ἔσχε, τὸ μὴ φύσις οἶδεν ὀπάσσαι,
Ἀθρήσας



Quòd ipſum graues obſtetricatæ ſunt puerpuræ
Matris ex ventre obſcuræ coæuum caligini.
Ieſus autem docuit vera teſtificante voce,
Hic ſceleratè agens non peccauit,neque parentes,
Sed ſortitus eſt hoc damnum diuinitus , vt per ipſum
Opera Dei patris malum pellentis manifeſtentur:
Nos altiſsimi eſt neceſſe opera perficere,
Opera Dei viuentis,donec adhuc apparet aurora:
Nox caliginoſa poſt puſillum veniet: veniente autem
Nullus vir per noctem poterit opus texere.
Faciam autem donec dies augetur: ſum autem mundi
Lumen ego caliginoſi,donec in mundo ambulo.
Dixit Rex,& diuino ex ore in ſitibundam terram,
Morbum ſoluentem omnino albam expuit ſpumam
dentium:
Et terreſtri puluere mixtam ſpumam voluens,
Sputo lutum fecit luciferum. humidum autem
Viri inungens cæcis lutum oculis,
Viri formauit oculos , quos non natura potuit præ-
bere,
Viri formauit oculos,& oculorum expertis faciei
Signans duplices orbes,medium impreſſit viſum,
Oculos perficiens recèns factos conſueto luto,
Ex humo vnde homo formatus eſt: & dixit diuina
voce,
Vade,& laua tuam faciem vbi Siloam
Fontis vicini fluit communis aqua,
Aqua miſſi prænominata ex tua deductione.
Chriſtus dixit: & cæcus feſtinabat,& apud fontem
Manibus cauis luciferam hauſit aquam,
Aquis fontanis cæca lumina lauans.
Abſtergens autem nouiter expreſſi rotundum ambi-
tum oculi,
Statim lucē habebat , quā natura non nouerat præbe-
re,
Aſpi-

Ἀθρήσας φαέθοντος ἀήθεος ὄψιμον αἴγλην,
Νίψατο· καὶ πάλιν ἦλθε, καὶ ἵστατο πάντα δοκεύων.
Καί μιν ἐσαθρήσαντες ἐπήλυδες ἄνδρες ὁδῖται
Μαρμαρυγὴν πέμποντα νεογλαύκοιο προσώ-
που,
Γείτονες ἐφθέγγοντο καὶ ἀνέρες ἴδμονι λαῷ,
Οὐ πέλεν ἐστὶ ἐκεῖνος ἐν ἄστεϊ τυφλὸς ὁδίτης,
Ὅς πάρος ᾐτίζεσκεν, ἐθήμονα χεῖρα τιταίνων
Δεξιτερὴν προβλῆτα παρερχομένοισιν ὁδί-
ταις;
Ἄλλοι δ' ἀντιάχησαν ἀμοιβαίῳ τινὶ μύθῳ,
Οὐ πέλεν, οὐ πέλεν ἐστί, ἔοικε δὲ μουνῶν ἐκείνῳ.
Κεῖνος ἀνὴρ ἀγόρευεν, Ἐγὼ πέλω. Εἰσαΐων δὲ
Λαὸς Ἰουδαίων, φιλοπευθέα ῥήξατο φωνὴν,
Πῶς δὲ τεαὶ προβλῆτες ἀνωΐχθησαν ὀπωπαί;
Ἑβραίοις δ' ἀγόρευε θεῷ πεφιλημένος ἀνὴρ,
Κεῖνος ἀνὴρ ὃς Χριστὸς ἀκούεται, ὅντινα λαοὶ
Ἰησοῦν καλέουσιν, ἐμὰς ὤϊξεν ὀπωπάς.
Χείλεσι γὰρ σοφὸν ἀφρὸν ἀνήρυγεν. ἐν δαπέδῳ
δὲ
Ἀκροτάτοις ὀνύχεσσι πολύστροφον ἰκμάδα πάλλων,
Πτύσματι πηλὸν ἔτευξεν, ἐμὰς δ' ἔχρισεν ὀπωπὰς,
Καί με μολεῖν ἐκέλευσεν ὅπη ῥόος ἐστὶ Σιλωάμ.
Πηγῆς δ' ἐγγὺς ἵκανον· ἀλεξικάκῳ δὲ ῥεέ-
θρῳ
Νιψάμενος σκιεροῖο περίδρομον ὄμματος ὕλην,
Ἐξαπίνης φάος εἶδον, ὃ μὴ πάρος εἶχον ὀπω-
παί.
Ἑβραῖοι δ' ἐρέεινον ἀναιδέες ἄφρονι μύθῳ,
Πῆ πέλε πῆ πέλε κεῖνος; Ὁ δ' ἴαχεν ἔμφρονι
μύθῳ,
Ἀγνώσσω πόθι κεῖνος. Ἐπεσσεύοντο δὲ λαοὶ,
Τὸν ποτὲ τυφλὸν ἄγοντες ἐς ἀντιθέους ἱε-
ρῆας.

Ἑβδο-



Aspiciens solis inconsueti serum splendorem:
Lauit: & rursus venit, & stetit omnia videns.
Et ipsum aspicientes aduenæ viri viatores
Splendorem emittentem à recèns visum recuperan-
te facie,
Vicini dixerunt & viri scienti populo,
Nónne est hic ille in ciuitate cæcus viator,
Qui antea petebat, consuetam manum extendens
Dextram prominentem prætereuntibus viatoribus?
Alii autem contrà sonuerunt responsiuo quodam ser-
mone,
Non est, non est hic: similis est tantùm illi.
Ille vir dixit, Ego sum. Audiens autem
Populus Iudæorum, sciscitabundam rupit vocem,
Quomodo verò tui prominentes aperti sunt oculi?
Iudæis autem dixit Deo charus vir,
Ille vir qui Christus dicitur, quem populus
Iesum vocat, meos aperuit oculos.
Labiis enim sapientem spumam expuit. in pauimen-
to autem
Summis vnguibus versatilem humorem quatiens,
Sputo lutum fecit, & meos vnxit oculos.
Et me ire iussit vbi fluxus est Siloam.
Ad fontem autem propè veni, malúmque pellente
fluxu
Lauans vmbrosi orbiculatam oculi materiam,
Statim lumen vidi, quod non antea habebant oculi.
Hebræi autem interrogarunt impudentes insipienti
verbo,
Vbi est, vbi est ille? Ille autem sonuit prudenti ser-
mone,
Ignoro vbi ille sit. Concitabatur autem populus,
Eum qui priùs cæcus erat ducens ad Deo contrarios
sacerdotes.

Septima.

Ἑβδομάτη δ' ἄπρηκτος ἔην τότε θέσκελος ἠώς,
Τῇ ἔνι πηλὸν ἔτευξε, καὶ ἔπλασε φέγγος ὀπωπῆς
Χριστὸς, ἀπὸ βλεφάρων ἐλάσας ἀλαωπὸν ὁμίχλην.
Καί μιν ἀνείρετο λαὸς ἀπιστοτάτων Φαρι-
σαίων,
Πῶς βλεφάροιν λάχε φέγγος· ὁ δὲ θρασὺς ἴαχεν
ἀνήρ,
Θέσκελον ἡμετέραις ἐπεθήκατο πηλὸν ὀπωπαῖς,
Ὀφθαλμοὺς δ' ἐχάραξεν· ἐγὼ δ' ὑπὸ γείτονι πηγῇ
Ὕδατι πηλὸν ἔνιψα, καὶ ἵσταμαι ἄρτι δοκεύων.
Καὶ φθονεροί τινες εἶπον ἀσιγήτων Φαρι-
σαίων,
Οὐ θεόθεν πέλεν οὗτος, ὃς ἱερὰ θεσμὰ πατήσας,
Οὐ δρόμον ἀπρήκτοιο φυλάσσεται ἕβδομον ἠοῦς.
Ἄλλοι δ' ἀντιάχησαν ὁμοφθόγγων ἀπὸ λαιμῶν,
Πῶς δύναται τάδε πάντα πολύτροπα θαύματα τεύχειν
Θνητὸς ἀνὴρ καὶ ἀλιτρός; ἁμιλλητῆρι δὲ λαῷ
Διχθὰ μεριζομένῳ διδυμόθροος ἔβρεμεν ἠχώ·
Καὶ πολὺς ἀμφήριστος ἔην κλόνος. ἀνδρὶ δὲ τυ-
φλῷ
Πάντες ἐμυθήσαντο, Σὺ δὲ φρεσὶν εἵνεκα κείνου
Ποίην μῆτιν ἔχεις; τίνα μοι τίνα μῆτιν ἐνίψεις;
Ἀρτιφαὴς δ' ἀδόνητος ἀνὴρ πειθήμονι μύθῳ
Ἔννεπε τολμήεις, ὅτι Θέσκελός ἐστι προφήτης.
Λαοὶ δ' οὐκ ἐπίθησαν ἀληθέι φωτὸς ἰωῇ
Ὃς ποτὲ τυφλὸς ἔην, καὶ ἐδέξατο φέγγος ὀπωπαῖς·
Εἰ μὴ πρῶτα κάλεσσαν ἀπειθέες ἀρχιερῆες
Ἀνδρὸς ἀναβλέψαντος ἐπισταμένους γενετῆρας.
Ἀμφοτέρους δ' εἴροντο βαρυζήλῳ τινὶ
μύθῳ,
Ὑμείων παῖς οὗτος, ὃν ἐφθέγξαντο πολῖται
Ἐκ λαγόνων ὅτι τυφλὸς ἀνεβλάστησε τεκούσης,
Καὶ πόθεν ὀψιτέλεστον ἐδέξατο φέγγος ὀπωπαῖς;
Καὶ φόβον ὠδίνοντες ἐχέφρονες ἠπεροπῆες,

Μῦθον



Septima verò otiosa erat tunc diuina aurora,
In qua lutum fecit, & formauit lucem oculis
Christus, à palpebris expellens cæcam caliginem.
Et ipsum interrogauit cœtus incredulorum Phari-
sæorum,
Vt oculorum nactus esset lucem: ille verò audax so-
nuit vir,
Diuinum meis imposuit lutum oculis,
Oculos & signauit: ego autem ad vicinum fontem
Aqua lutum ablui, & sto nunc videns.
Et inuidi quidam dixerunt impudentium Phari-
sæorum,
Non ex Deo est hic, qui sacram legem conculcans,
Non cursum otiosæ seruat septimum auroræ.
Alii autẽ contrà sonuerunt consentiente à gutture,
Quomodo potest hæc omnia varia miracula facere
Mortalis vir & peccator? Contentiosi autem populi
Bifariam diuisi, duplex strepebat sonus:
Et multus controuersus erat tumultus. viro autem
cæco
Omnes dixerunt, Tu autem mente de ipso
Qualem sententiam habes? quod iudicium proferes?
Recens vidẽs autem inconcussus vir credẽti sermone
Dixit audax, quòd Diuinus est propheta.
Populus autem non credidit veræ viri voci
Qui quondam cæcus erat, & recepit lucem oculis,
Nisi priùs vocassent increduli pontifices
Viri qui visum recepit scientes parentes.
Vtrosque autem interrogabant inuido quodam ser-
mone,
Vestérne filius hic est, quem dixerunt ciues
Ex vtero quòd cæcus regerminauit parientis?
Et vnde serò perfectam recepit lucem oculis? [res,
Et metum parturientes mentẽ reprimentes decepto-

Sermo-

Μῦθον ὑποκλέπτοντες ἐμυθήσαντο τοκῆες,
Ἴδμεν ὅτι βροτὸς οὗτος ὃς ἔλλαχεν ὄμματος αἴ-
γλην
Ἡμείων πέλε κοῦρος ἐτήτυμος· ἀλλὰ καὶ αὐτοὶ
Ἴδμεν ἑῆς ἀπὸ μητρὸς ὅτι βρέφος εἰς φάος ἕρπων
Τυφλὸς ἔην, ἀγάλακτος, ἔτι πνείων τοκε-
τοῖο·
Πῶς δέ οἱ ἀμφιτρῆτες ἀνῳΐχθησαν ὀπω-
παὶ,
Καί τις ἀφωτίστων βλεφάρων ἐκέδασσεν ὀμίχλην,
Ἡμεῖς οὐκ ἐδάημεν ἀμεμφέες. ἀγχιφανῆ δὲ
Ἴδμονα κοῦρον ἔρεσθε τὰ μὴ δεδάασι το-
κῆες·
Οὐ πέλε νήπιος οὗτος, ἔχων παιδήιον ἥβην·
Οὐ φθογγῆς ἑτέρης ἐπιδεύεται. ἀμφὶ ἕθεν γὰρ
Ἀρτιθαλὴς νέος οὗτος ἀληθέα μῦθον ἐνίψει,
Πιστῆς μέτρα τέλεια φέρων παλιναυξέος
ἥβης.
Τοῖα φόβῳ δολόεντες ἐπερθέγξαντο τοκῆες,
Τάρβος Ἰουδαίων πεφυλαγμένοι. αἰνομανεῖς γὰρ
Χριστοῦ, ζῆλον ἔχοντες ἀμιμήτων χάριν ἔρ-
γων,
Συνθεσίην κήρυξαν ὅλῳ πειθήμονι λαῷ,
Ὄφρα μιν ὃς δέξαιτο νόῳ καὶ Χριστὸν ἐνίψῃ,
Μὴ ζαθέου ψαύσειε θεοκλήτοιο μελά-
θρου.
Οὗ χάριν Ἑβραίοισιν ἐμυθήσαντο τοκῆες,
Ἴδμονα κοῦρον ἔρεσθε, καὶ οὐ χρέος ἐστὶ το-
κήων·
Ὑμῖν δ' εἰρομένοισι δυνήσεται οὗτος ἐνίψαι,
Ἄρτια μέτρα φέρουσαν ἔχων περιμήκετον
ἥβην·
Καὶ γενέτης ἀλαοῖο κεράσσατο θαύματι φωνὴν
Γλώσσῃ κρυπταδίῃ, μὴ δήιος ἑσμὸς ἀκούσῃ.





Sermonem occultantes dixerunt parentes,
Scimus quòd homo hic qui recepit oculorum splen-
dorem
Noster est filius verus: sed & ipsi
Scimus sua à matre quòd infans in lucem repens
Cæcus erat, lac nondum gustans, adhuc spirans par-
tum:
Quomodo autem ei vtrinque perforati aperti sint o-
culi,
Et quis obscurorum oculorum dissipauerit caliginem
Nos nescimus inculpati: propinquum autem
Scientem filium interrogate de his quæ nesciunt pa-
rentes.
Non est infans hic habens puerilem pubertatem:
Non voce alia opus habet. de se enim
Recèns florens iuuenis hic verum sermonem dicet,
Fidei mensuras perfectas ferens recrescentis puber-
tatis.
Talia metu dolosi dixerunt parentes,
Timorem Iudæorum vitantes. insanientes enim
Contra Christum, zelum habentes inimitabilia
propter opera,
Fœdus pronuntiarunt toti credulo populo,
Vt ipsum qui receperit mente & Christum dixerit,
Non diuinam attingat in qua Deus inuocatur do-
mum.
Vnde Iudæis dixerunt parentes,
Scientem filium interrogate, & non opus est paren-
tibus:
vobis verò interrogantibus poterit hic dicere,
Perfectas mensuras ferentem habens prægrandem
pubertatem.
Et pater cæci miscuit admirationi vocem
Lingua occultante, ne hostilis cœtus audiret,

Παιδὸς ἰδὼν νέον ὄμμα βοογλαύκοιο προσώ-
που.
Ἀνέρα δ' ὃς πλανόφοιτος ἔην ἀλαωπὸς ὁδίτης
Ζηλομανεῖς καλέσαντες ἐπέφραδον ἀρχιερῆες,
Δὸς τέκος ὑψιμέδοντι θεῷ χάριν, ὅς σε σαώσας
Ὀφθαλμῶν πόρε φέγγος· ὁ δὲ βροτὸς ὃν σὺ γεραίρεις,
Οὗτος ἀλιτροσύνῃσι πέλει μεμελημένος ἀνήρ.
Ἑβραίοις δ' ἀγόρευεν ἀνὴρ θρασύς, Οὐ μὲν ἀνέ-
γνων
Εἰ πέλεν οὗτος ἀλιτρὸς ἐτήτυμον· οἶδα δὲ θυμῷ
Ἓν μόνον ἀτρεκέως, λοχίης ὅτι σύντροφος ἠοῦς
Τυφλὸς ἐγὼ βλάστησα, καὶ ἵσταμαι ἄρτι δοκεύων.
Καὶ χορὸς Ἑβραίων φιλοπευθέα ῥήξατο φωνήν,
Εἰπέ, τί σοι ποίησεν ἑῷ τεχνήμονι πηλῷ;
Πῶς δὲ τεὴν ζοφόεσσαν ἀπημάλδυνεν ὀμίχλην;
Καί σφιν ἀνὴρ ἀδόνητος ἐλεύθερον ἴαχε φωνήν,
Ἄλλοτε μῦθον ἔλεξα, καὶ οὐκ ἠκούσατε φωνῆς,
Τίπτε παλιμπετέες μενεαίνετε τοῦτον ἀκοῦσαι;
Μὴ θεὸς ὑμείων δονέει νόον; ὄφρα καὶ αὐτοὶ
Χριστοῦ θεσπεσίοιο νόθοι γίγνησθε μαθηταί;
Οἱ δέ μιν ἀντιπόροισιν ἐνείκεον αὐτίκα μύ-
θοις,
Αὐτὸς λυσινόμοιο πέλεις κείνοιο μαθητής.
Ἡμεῖς γὰρ προτέροιο θεουδέος ἐσμὲν ἑταῖροι,
Θεσμοτόκου Μωσῆος ὑποδρηστῆρες ἰωῆς·
Τοῦτον δ' οὐκ εἰδείημεν. Ἀνὴρ δ' ἠμείβετο μύθῳ,
Τοῦτο γάρ ἐστι τὸ θαῦμα πολὺ πλέον, ὅττι παρ' ὑμῖν
Οὗτος ἔην ἄγνωστος, ἐμὰς δ' ᾤξεν ὀπωπάς.
Ἴδμεν ὅτι ξύμπαντα πατὴρ θεὸς ἡνιοχεύων,
Ἀνδρὸς ἀλιτρονόοιο βοὴν οὐκ οἶδεν ἀκούειν·
Εἰ δὲ θεουδείῃσιν ἀνὴρ μεμελημένος εἴη,
Καὶ καθαραῖς πραπίδεσσι θεοῦ τελέσειεν ἐφετμάς,
Τούτου λισσομένοιο θεὸς ταχυεργὸς ἀκούει.
Ἐξότε ποικιλόμορφος ἀέξετο παντρόφος αἰών,

Τηλίκος



Filii videns nouum visum pulchris oculis prædítæ
faciei.
Virum autem qui vagus erat cæcus viator,
Inuidi vocantes alloquuti sunt pontifices;
Age fili altiregenti Deo gratias, qui te seruans
Oculorum dedit lucem: ille autẽ vir quẽ tu honoras,
Hic peccatis est obseruatus vir.
Hebræis autem dixit vir audax, Non quidem co-
gnoui
An sit hic peccator veré: scio autem animo
Hoc solum verè, natalis quòd coalumnus auroræ
Cæcus ego germinaui, & sto iam videns.
Et cœtus Hebræorum sciscitantem rupit vocem,
Dic, quid tibi fecit suo artificioso luto?
Quomodo autem tuam atram deleuit caliginem?
Et ipsis vir immobilis liberam sonuit vocem,
Aliâs sermonem dixi, & non audiuistis vocem,
Cur retrógradi cupitis hunc audire?
Num Deus vestram agitat mentem? vt & ipsi
Christi diuini spurii fiatis discipuli?
Illi autem ipsum oppositis conuitiabantur statim
verbis,
Ipse legifragi sis illius discipulus.
Nos enim prioris pii sumus socii,
Legiferi Mosis serui vocis:
Hunc verò nescimus. Vir autem respondit sermone,
Hoc quidem est miraculum maximum, quòd vobis
Hic est incognitus, meos autem aperuit oculos.
Scimus quòd omnia Deus pater gubernans,
Viri peccatoris vocem non nouit audire:
Si verò pietate vir gratus fuerit,
Et puris præcordiis Dei perfecerit præcepta,
Hunc orantem Deus promptus audit.
Ex quo multiforme augetur omnia nutriens seculum,

Τηλίκος οὔποτε μῦθος ἀκούεται, ὅτι λαχόντι
Ὄμμα πολυκλήϊστον ἀφωτίστοιο προσώπου
Ἀνέρι τὶς πόρε φέγγος, ὃν ἀρτιτόκου διὰ κόλπου
Εἰσέτι τυφλὸν ἐόντα μογοστόκος ἔδρακεν ἠώς.
Εἰ μὴ ἔην βροτὸς οὗτος ἐπουρανίου βασιλῆος,
Τηλίκον οὔποτε θαῦμα δυνήσατο μοῦνος ἀνύσσαι.
Καί μιν μυστιπόλοι φθονερῇ συνέλιξαν ἰωῇ,
Σύγγονος ἀμπλακίῃσιν ἐμαιώθης ὅλος ἀνήρ,
Καὶ σὺ σοφοὺς ἱερῆας ἐπεσβόλε ταῦτα διδάσκεις;
Καί μιν ὁμοκλήσαντες ἀπήλασαν ἔκτοθι νηοῦ.
Ἰησοῦς δ' ἄϊσκε δαήμονι τυφλὸν ἀκουῇ,
Ὅττι μιν ἐκτὸς ἔλασσαν ἀγήνορες ἀρχιερῆες.
Εὗρε δέ μιν καὶ ἔειπε, Σὺ πείθεαι υἷα γεραίρων
Οὐρανίου βασιλῆος; Ἀνὴρ δ' ἠρεύγετο φωνήν,
Κοίρανε, τίς πέλεν οὗτος ὃν ἔννεπες, ὄφρα γεραίρω;
Ἰησοῦς δ' ἀπαμείβετο, Καὶ ἔδρακες αὐτὸν ὀπωπῇ,
Καί σοι νῦν λαλέων αὐτὸς πέλεν. Εἶπε καὶ αὐτὸς,
Κοίρανε, πιστεύω· κεφαλὴν δ' ἐπὶ γαῖαν ἐρείσας,
Καὶ ποσὶν ἀμβροσίοις κυρτούμενον αὐχένα κάμψας,
Φαιδρὰ πολυρράφεων προσεπτύξατο ταρσὰ πεδίλων.
Ἰησοῦς δ' ἀπαμείβετο σαόφρονα μῦθον ἀκούων,
Εἰς κρίμα τοῦτον ἱκάνον ἐς ἄφρονα κόσμον ἀλήτην·
Εἰς κρίμα δισσὸν ἔβην ἑτερότροπον, ὄφρα καὶ αὐτοὶ
Οἱ πάρος οὐχ ὁρόωντες ἀθηήτου φάος ἠοῦς,
Τυφλοὶ ἀναβλέψωσιν ἐσαθρήσαντες ὀπωπαῖς·
Ὀξυφαεῖς δὲ γένωνται λιπαυγέες. Ἀγχιπόρων δὲ
Χριστῷ λαὸς ἔειπεν ἐφεσπομένων Φαρισαίων,
Μὴ σφαλεροῖς βλεφάροις ἀλαοὶ γινόμεθα καὶ ἡμεῖς;

Ἰησοῦς



Talis nunquam ſermo auditus eſt, quòd ſortienti
Oculos multum clauſos non illuminatæ faciei
Viro aliquis dedit lucem, quem nuper-parientē per ſinum
Adhuc cæcum in partu laborioſa vidit aurora.
Niſi eſſet homo hic cœleſtis regis,
Tam magnum nunquam miraculum potuiſſet ſolus perficere.
Et ipſum ſacrifici inuida inſectabantur voce,
Congenitus peccatis ab obſtetrice tractatus es totus vir,
Et tu ſapientes ſacerdotes conuitiator hæc doces?
Et ipſum vociferantes expulerunt extra templum.
Ieſus autem audiuit ſciente de cæco fama,
Quòd ipſum eieciſſent ſuperbi pontifices,
Inuenit autem ipſum, & dixit, Tu credis filium honorans
Cœleſtis regis? Vir autem eructauit vocem,
Domine, quis eſt ille quem dixiſti, vt honorem?
Ieſus autem reſpondit, Et vidiſti ipſum oculis,
Et tecum nunc loquens ipſe eſt. Dixit & ipſe,
Domine, credo. capútque terræ admouens,
Et pedibus immortalibus curuatā ceruicem flectens,
Nitidum multum conſutorum amplexus eſt tarſum calceorum.
Ieſus autem reſpondit, ſapientē ſermonem audiens,
In iudicium veni in hunc inſipientem mundum errantem:
In iudicium duplex veni diſſimile: vt & ipſi
Antea non videntes inuiſibilis lucem auroræ,
Cæci viſum rècipiant inſpicientes oculis:
Acutè autē videntes fiant cæci. Propinquorum autē
Chriſto populus dixit ſequentium Phariſæorum,
Num errantibus oculis cæci ſumus & nos?

Ἰησοῦς δ' ὀάριζεν, ἀπειθέα λαὸν ἐνίπτων,
Εἰ ζόφος ὑμετέρης περιδέδρομε φέγγος ὀπωπῆς·
Ὑμέας ἀμπλακίης ἀδαήμονας ἔννεπον εἶναι·
Νῦν δὲ φάος δρακόντες, ἀλήμονες ἐστὲ καὶ ὑμεῖς·
Τυφλοὶ δ' ἐστὲ νόῳ βλεφάρων πλέον. οἷσι γὰρ ἀν-
δρῶν
Ἀμπλακίαι μίμνουσι, μάτην ὁρόασιν ὀπωπαῖς.
Μάρτυρος ἀστυφέλικτος ἀμὴν ἀμὴν Κεφ. ι.
λόγος ἔστω,
Ὅς κε παραΐξειε θύρην εὐερκέος αὐλῆς
Ἐνδομύχων προβάτων, καὶ ὑπέρτερος ἄλλοθεν ἕρπει,
Εἰς σκολιὴν ἄδηλον ἐπηλυσίην ἀναβαίνων,
Ληϊστὴρ πέλεν οὗτος ἀνὴρ ληΐστορι ταρσῷ.
Ὃς δὲ μολὼν ἀγνάμπτος ἐς αὔλιον ὀρθὸς
ἱκάνει,
Ποιμὴν οὗτος ἔφυ μηλοσσόος. ἐρχομένῳ δὲ
Ἀμφαδίην σταθμοῖο θύρην πυλαωρὸς ἀνοίγει.
Μῆλα δὲ γινώσκοντα περισκαίρουσι νομῆα,
Φθογγῆς εἰσαΐοντα. παρὰ προθύροισι δὲ ποιμὴν
Πάεα ποιμαίνειν προκαλίζεται ἠθάδι φωνῇ.
Ἐκτόθι δὲ σταθμοῖο γεγηθότα μῆλα κομίζει.
Ἐξαγαγὼν δ' ὅτε πᾶσαν ἀολλίσσῃ στίχα ποί-
μνης,
Εἰς νομὸν ἐρχομένων ὀΐων προκέλευθος ὁδεύει·
Ποίμνη δ' αἰολόμορφος ὀπισθοπόρῳ ποδὶ βαίνει,
Εἰς δροσεροὺς λειμῶνας ὀπιπεύουσα νομῆα.
Ξείνου δ' οὐκ ἀΐουσι, καὶ οὐ δεδάασιν ἀ-
κούειν
Ἀλλοτρίου καλέοντος ἀήθεα ποιμένος αὐδήν,
Ἀλλὰ παραΐσσοντα νόθον φεύγουσι νομῆα.
Τοῖον ἔπος κατέλεξε παραίφατον. ἀμφὶ δὲ
μύθῳ
Λαὸς ἀμηχανέεσκε, καὶ οὐ μάθεν ἐγγὺς ἀκούων
Χριστὸς ἀσημάντῳ τάπερ ἔννεπε θέσπιδι φωνῇ.

Ἰησοῦς δὲ



Ieſus autem dixit, incredulum populum obiurgans,
Si caligo veſtri ambiiſſet lucem viſus,
Vos peccati inſcientes dixiſſem eſſe:
Nunc verò lucem videntes, errantes eſtis & vos:
Cæci autem eſtis mente quàm oculis plus. quibus e-
nim viris
Peccata manent, fruſtrà cernunt oculis.
Teſtificans immotus Amen Amen Cap. X.
ſermo ſit,
Qui irrepſerit per oſtium bene muniti ouilis
Abditarum ouium, & ſuperior aliunde repit,
Per curuum obſcurum aditum aſcendens,
Prædo eſt hic vir prædatitio pede:
Qui verò accedens non curuatus in caulam erectus
venit,
Paſtor hic eſt oues paſcens. venienti autem
Apertum ſtabuli oſtium oſtiarius aperit.
Oues autem cognoſcentes ſaliunt circa paſtorem,
Vocem audientes. ad veſtibulum autem paſtor
Greges paſcere euocat conſueta voce.
Extra ouile autem geſtientes oues ducit.
Educens autem quando omnem congregauerit ordi-
nem gregis,
Ad paſcua venientium ouium præcurſor vadit:
Grex autem multiformis retrogrado pede incedit,
Ad roſcida prata ſequens paſtorem.
Peregrinum autem non audiunt, & non nouerunt
audire
Alieni vocantis inconſuetam paſtoris vocem,
Sed prætereuntem ſpurium fugiunt paſtorem.
Tale verbum recitauit prouerbiale. circa ſermonem
autem
Populus hæſitabat, & non didicit propè audiens
Chriſtus obſcura quæ dixit diuina voce.

Ἰησοῦς δ' ἀγόρευεν ἀριζήλῳ τινὶ μύθῳ,
Πανδόκος εἰμὶ θύρη προβάτων πολυχανδέος αὐλῆς·
Πάντες ὅσοι πάρος ἦλθον ὑποκλέπτοντι πεδίλῳ,
Φῶρες ἔσαν δολόεντες, ὅθεν ληΐστορι φωνῇ
Αὐτῶν φθεγγομένων οὐκ ἔκλυε πώεα ποίμνης.
Πανδόκος εἰμὶ θύρη, μηλοσσόος· ἡμετέρης δὲ
Ὅς κεν ἰὼν δι' ἐμεῖο θύρην ὑποδύσεται αὐ-
λῆς,
Οὗτος ἔσω στείχει, καὶ ὑπότροπος αὖτις ὁδεύει,
Καὶ νομὸν εὑρήσει, καὶ ἀείζωος ἔσσεται ἀνήρ·
Ληϊστὴρ δ' ἀΐδηλος ἐς αὔλιον οὔποτε βαίνει,
Εἰ μὴ ἵνα κλέψειεν ἀμάρτυρος, ἢ καὶ ὀλέσσῃ
Ἠὲ διατμήξειεν ἀφειδέϊ μῆλα μαχαίρῃ.
Αὐτὰρ ἐγὼ παρὰ πατρὸς, ὅπως ἐμὰ μῆλα σαώσω,
Ἤλυθον ὄφρα λάχοιεν ἀλωφήτῳ τινὶ τιμῇ
Ζωὴν ἐσσομένην, τὴν οὐ χρόνος οἶδεν ὀλέσσαι,
Ἠὲ περισσὸν ἔχοιεν ὑπέρτερον. εἰμὶ δὲ ποιμὴν
Καλὸς ἐγώ· ποιμὴν δὲ καλὸς περὶ μῆλα φυλάσσων,
Καὶ ψυχῆς ἰδίης οὐ φείδεται, ἀλλά ἑ θήσει
Λύτρον ἑῶν οἴων. ὁ δὲ μίσθιος οὐ πέλε ποιμήν·
Δήϊον ἀγχικέλευθον ἰδὼν λύκον ἅρπαγα μή-
λων,
Κρυπτὸς ἀλυσκάζων ὑποδύεται, ὀξὺς ἐάσας
Βοσκομένων ἀφύλακτα πολύπλανα πώεα
μήλων.
Κρυπτὸς ἀλυσκάζων ὑποδύεται· οὐκ ἀλέγει δὲ
Μήλων ἀλλοτρίων, ὅτι μίσθιος αὐτὸς ἀκούει.
Καὶ λύκος ἀγκυλομήτης ἐπέρχεται ἅρπαγι λαιμῷ
Μῆλα διασκεδάσας, σημάντορος οὐ παρεόντος.
Ποιμὴν καλὸς ἔφυν, καὶ πώεα καλὰ νομεύω.
Γινώσκω δ' ἐμὰ μῆλα, καὶ ἠθάδα μηλοβοτῆρα
Ταῦτά με γινώσκουσιν ἴσῳ διδυμάονι θεσμῷ·
Ὡς γενέτης νοέει με, καὶ ὡς νοέω γενετῆρα.
Ψυχὴν δ' ἡμετέρην οἴων ὕπερ αὐτίκα θήσω.

Ἔστ



Iésus autem dixit illustri quodam sermone,
Hospitale sum ostium ouium capacissimi ouilis:
Omnes quotquot antea venerunt occultante pede,
Fures erant dolosi, vnde prædatitia voce
Ipsos loquentes non audiuerunt greges.
Omnes recipiens sum ostium, oues seruans: nostræ
autem
Quicunque vadens per me ostium subierit ouilis,
Hic intrat, & reuersus iterum incedit,
Et pascua inueniet, & semper viuens erit vir.
Prædo autem nocuus in ouile nunquam scandit,
Nisi vt furetur sine teste [.i. clàm] vel perdat
Vel discerpat non parcente oues gladio.
Sed ego à patre, vt meas oues seruem,
veni, vt acquirant indesinente quadam gloria
Vitam futuram, quam tempus nescit perdere,
Et abundantius habeant magis. sum autem pastor
Bonus ego: pastor autem bonus oues custodiens,
Et vitæ propriæ non parcit, sed ipsam ponet
Pretium redemptionis pro suis ouibus. mercenarius
autem non est pastor:
Hostilem propinquum videns lupum raptorē ouium,
Occultus fugiens subducit se, celer relinquens
Pascentium non custoditos multum errantes greges
ouium.
Occultus fugiens subducit se: non curat autem
Oues alienas, quia mercenarius ipse dicitur.
Et lupus versutus aggreditur rapaci gutture
Oues dissipans, pastore non præsente.
Pastor bonus sum, & greges bonos pasco.
Cognosco autem meas oues, & consuetum opilionem
Illæ me cognoscunt æquali duplici lege:
Sicut pater nouit me, & sicut noui patrem.
Vitam autem nostram pro ouibus statim ponam.

Sunt

Ἔστι μὲν ἔστι καὶ ἄλλα πολύθροα πώεα ποίμνης,
Ταύτης οὐ γεγαῶτα μιῆς θεοδέγμονος αὐλῆς,
Ἀλλοτρίων· καὶ ταῦτα πέλει χρέος ὥς κεν ἀγείρω
Φθογγῆς ἡμετέρης ἀρειήκοα· καὶ μία ποίμνη
Ἔσσεται ἀμφοτέρωθεν ἑνὸς τελέθουσα νομῆος.
Τοῦ δ' ἕνεκεν φιλέει με πατὴρ ἐμὸς, οὕνεκα θήσω
Ψυχὴν ἡμετέρην ὀΐων ὕπερ, ὄφρα μιν αἴρω
Εἰς ἐμὲ νεισομένην παλινάγρετον· οὐδέ τις αὐτὴν
Θεσμὸς ἀφαιρεῖταί με γενέθλιος, οὐ χρόνος ἕρπων,
Πανδαμάτωρ, ἀδάμαστος, ἢ ἐμπεδόμητις ἀ-
νάγκη·
Ἀλλά μιν αὐτοκέλευστος ἑκὼν ἐθέλουσαν ὀπάσσω,
Ὄφρα λάβω μετὰ βαιὸν, ἔχων αὐτάγρετον ἀλ-
κήν.
Ταύτην ὑψιμέδοντος ἔχω παρὰ πατρὸς ἐφετμὴν,
Θεῖναι, καὶ παλίνορσον ἑλεῖν διδυμάονι θεσμῷ.
Καὶ πάλιν Ἑβραίων ἐμερίζετο λαὸς ἀκούων·
Καὶ πολέες φθέγξαντο πολυφλοίσβῳ τινὶ μύθῳ,
Φθεγγόμενον βαλίῃσιν ἐάσατε τοῦτον ἀέλλαις·
Δαιμόνιον μιθέπει, καὶ μαίνεται· ἄφρονα τοῦτον
Λείπετε· μαινομένου τί ποθεῖτε μῦθον ἀκούειν;
Ἄλλοι δ' ἀντιάχησαν ὁμοζήλων ἀπὸ λαιμῶν,
Οὐ τάδε μαινομένοιο σαόφρονα χεύματα μύθων,
Ἄφρονος οὐ πέλε ταῦτα. μὴ ἀχλυόεις ποτὲ
δαίμων
Ὀφθαλμοὺς ἀλαοῖο δυνήσεται αὐτὸς ἀνοῖξαι;
Καὶ πάλιν ἦμαρ ἔην πανδήμιον, ᾧ ἔνι λαοὶ
Μνημοσύνην τελέεσκον ἐτήσιον, ἐξότε νηοῦ
Ἕδρανα δωμήσας Σολομὼν εὐκίονι τέ-
χνῃ
Θεσπεσίης ἀρχαῖον ἐκαίνισε θεσμὸν ἑορτῆς·
Καὶ τότε παχνήεσσα παρίστατο χείματος ὥρη·
Ἰησοῦς δ' ἱεροῖο διέστιχεν ἔνδοθι νηοῦ,
Θέσκελον αἰθούσης πολυδαίδαλον οὖδας ὁδεύων,

Ἀρχε-



Sunt verò & alii varii greges,
Ex hoc non orti vno Deum recipiente ouili,
Alienigenæ: & hos est necesse vt congregem
Vocem nostram acutè audientes: & vnus grex
Erit vtrinque vnius existens pastoris.
Propter hoc diligit me pater meus, quòd ponam
Vitam nostram pro ouibus, vt ipsam accipiam
Ad me redeuntē rursus collectam: neque vlla ipsam
Lex aufert natalis, non tempus repens,
Omnia domans, indomitum, vel solidi consilii ne-
cessitas:
Sed ipsam sponte iussus volens volentem præbebo,
Vt recipiam post pusillum, habens per se collectam
potestatem.
Hoc altiregente habeo à patre præceptum,
Ponere, & iterum accipere duplici lege.
Et rursus Hebræorum diuisus est populus audiens,
Et multi dixerunt sonoro quodam sermone,
Loquentem velocibus finite hunc ventis:
Dæmonem habet, & insanit: insipientem hunc
Relinquite: insani cur festinatis sermonem audire?
Alii autem contrà sonuerunt concordi à gutture,
Non hi insanientis sapientes fluxus verborum,
Insipientis non sunt hæc. num caliginosus vnquam
dæmon
Oculos cæci poterit ipse aperire?
Et rursus dies erat publicus, in quo populus
Memoriam celebrabat anniuersariam, ex quo templi
Fulcimenta ædificans Solomon pulchras columnas
faciente arte
Diuini veterem renouauit legem festi:
Et tunc pruinosum affuit hyemis tempus:
Iesus autem sacro incedebat in templo,
Diuinū porticus artificiosum pauimentū peruadens,

A prisco

Ἀρχεγόνου Σολομῶντος ἐπώνυμον. ἀγνομανεῖς δὲ
Ἑβραῖοι στεφανηδὸν ὁμόζυγες εἰν ἑνὶ χώρῳ
Χριστὸν ἐκυκλώσαντο, καὶ ἔννεπον ἄφρονι μύθῳ,
Ἡμείων τέο μέχρις ὑποκλέπτεις φρένα μύθοις;
Εἰ σὺ Χριστὸς ἵκανες ἐτήτυμος, ἀμφαδὸν ἡμῖν
Ἀγρομένοις ἀγόρευε· τί καὶ τεὸν οὔνομα κεύθεις;
Ἰησοῦς δ᾽ ἅμα πᾶσιν ἀνίαχε, Πολλάκις ὑμῖν
Πολλάκις αὐτὸς ἔλεξα, καὶ οὐ πιστεύετε μύθῳ.
Ἔργα τάπερ τελέω καλέων πατρώϊον ἀλκὴν,
Μάρτυρα ταῦτα πέλει, καὶ φθέγγεται ἔμφρονι σιγῇ
Θνητοῖς μερόπεσσι λάλον τύπον· ἀλλά που ὑμεῖς
Ἐν βλεφάροις δέρκεσθε, καὶ οὐ πείθεσθε μενοινῇς.
Οὐ γὰρ ἐμῶν ὀΐων ταχυπειθέος ἐστὲ γενέθλης·
Οὔασι θελγομένοισιν ἐμῆς ὅτι πώεα ποίμνης
Γῆρυν ἐμὴν ἀΐει, καὶ ἐφέσπεται ἡγεμονῆϊ.
Γινώσκω δ᾽ ἐμὰ μῆλα, καὶ εἰν ἑνὶ πᾶσιν ὀπάσσω
Ζωὴν ἐσσομένην αἰώνιον. οὔποτε ποίμνης
Οὔποτε πώεα ταῦτα διόλλυται, εἰσόκε μίμνῃ
Αὐτομάταις ἀψῖσιν ἕλιξι κυκλούμενος αἰών.
Οὐδέ τις ἁρπάξειεν ἐμὴν πινυτόφρονα ποίμνην
Χειρὸς ἀφ᾽ ἡμετέρης, γενέτης ἐμὸς ὅττι νομεύειν
Ὅς μοι πώεα δῶκεν, ὑπέρτερος ἔπλετο πάντων.
Αὐτὸς ἐγὼ, μεδέων τε πατὴρ ἐμὸς, ἓν γένος ἐσμὲν,
Ἔμφυτον, αὐτόπρεμνον, ὅθεν φυτὰ μυρία κόσμου.
Εἶπεν ἄναξ· λαοὶ δὲ συνέῤῥεον, ἐκ δαπέδου δὲ
Λᾶας ἀνηέρταζον, ὅπως ὑπὸ χερμάδι λύσσῃ
Χριστὸν ὀϊστεύσωσι χαραδραίοισι βελέμνοις.
Ἰησοῦς δ᾽ ἀπάμειπτο χέων πολυμεμφέα φωνὴν,
Ἡμετέρου καλὰ πολλὰ παρ᾽ ὑψίστοιο τοκῆος

Ὑμέας



A prisco Solomone dictum. inuidi autem
Hebræi circulariter coniuncti in vno loco
Christum circundederunt, & dixerunt insipienti verbo,
Nostram quousque fallis mentem sermonibus?
Si tu Christus venisti verus, apertè nobis
Congregatis dic, cur tuum nomen occultas?
Iesus autem simul omnibus respondit, Sæpius vobis
Sæpius ipse dixi, & non creditis sermoni.
Opera quæ facio inuocans paternum robur,
Testificantia hæc sunt, & loquuntur prudenti silentio
Visibile hominibus loquens exemplar: sed vos
Oculis videtis, & non creditis animo.
Non enim mearum ouium ex credula estis generatione;
Auribus oblectatis mearum quia ouium greges
Vocem meam audiunt, & sequuntur ducem.
Cognosco autem meas oues, & simul omnibus dabo
Vitam venturam æternam. nunquam gregis
Nunquam oues hæ pereunt, donec manserit
Spontaneis arcuatis volutionibus circumiens seculũ.
Neque aliquis rapiet meum prudentem gregem
Manu ex nostra, pater meus quia ad pascendum
Qui mihi greges dedit, superior est omnibus.
Ipse ego, & regens pater meus, vnum genus sumus,
Insitum, per se radicatum, vnde plantæ infinitæ mundi.
Dixit Rex: populus autẽ confluxit, & ex pauimento
Lapides sustulit, vt lapidum arreptorum rabie
Christum iacularetur ex loco confragoso lectis telis.
Iesus autem respondit, fundens expostulatricem vocem,
Nostro bona multa ab altissimo patre

Vos

Υ'μέας ἔργα δίδαξα, τάπερ μάθον· ἀντὶ τίνος δὲ
Ε'ργου θεσπεσίου φονίην τίνοντες ἀμοι-
βὴν,
Εἰς ἐμὲ λαϊνέοισιν ἐθωρήχθητε βελέμνοις;
Λαοὶ δ' ἀντιάχησαν ἀμοιβάδις, Οὐ χάριν ἔργου
Καλοῦ λύσσαν ἔχοντες ἀολλίζοντο πολῖται
Ο'φρά σε πετρήεντι κατακρύψωσι χιτῶνι·
Α'λλὰ βαρυγλώσσοιο τεοῦ χάριν ἀνθερεῶνος,
Ο'ττι χαμαιγενέος μετέπων βλάστημα γενέθλης,
Θνητὸς ἐὼν ἐνέπεις θεὸς ἔμμεναι. Α'ντιπόρῳ δὲ
Χριστὸς ἀναμφήριστον ἔπος μυθήσατο λαῷ,
Οὐ νόμος ὑμείων κεχαραγμένα ταῦτα κομίζει,
Εἶπον ἐγὼ, Θεοί ἐστε; καὶ εἰ χθονίων τινὰς ἀν-
δρῶν,
Οἷς τότε μοῦνον ἵκανε θεοῦ λόγος ἴσος ὀνείρῳ,
Υ'μετέρου θεσμοῖο θεοὺς ἐκάλεσσεν ἀοιδὴ,
Καὶ γραφικῆς βίβλοιο παλίλλυτος ἔμμεναι ὀμφὴ
Οὐ δύναται· λόγον αὐτὸν ὃν ὑψιμέδων πόρε κόσμῳ,
Καὶ καθαρῆς παλάμης ἁγίῳ σφρηγίσσατο θεσμῷ,
Υ'μεῖς ἄφρονα μῦθον ἐπεφθέγξασθε μανέντες,
Ο'ττι θεοῦ ζώοντος ἐγὼ πάϊς. ἡμετέρου δὲ
Εἰ μὴ ἐγὼ τελέω ζωαρκέος ἔργα τοκῆος,
Μή ποτέ μοι πείθεσθε. καὶ εἰ βιοδώτορι μύθῳ
Η'μετέρου γενετῆρος ἀτέρμονος ἄξια ῥέζω
Ε'ργοις ἡμετέροις, τάπερ ἔδρακε μάρτυς ὀπωπὴ,
Ο'φρα κε γινώσκοιτε θεοπνεύστῳ τινὶ μύθῳ,
Ω'ς ἐν ἐμοὶ τελέθει γενέτης ἐμός· ὅττι καὶ αὐτὸς
Α'γχιφανὴς, ἀμέριστος, ὁμόζυγός εἰμι τοκῆος.
Ι'ησοῦν δ' ἀνίκητον ἐπειρήσαντο πιέζειν
Α'φραδέες τινὲς ἄνδρες· ὁ δὲ φθαμένῳ ποδὶ βαί-
νων
Δυσσεβέων ἀπὸ χειρὸς, Ι'ορδανίοιο ῥεέθρου
Πέζαν ἐς ἀντιπόρειαν ἐχάζετο· καὶ οἱ ἰόντι
Α'σπετος ἁμάρτησεν ὁμοστιχέων χορὸς ἀνδρῶν.

Α'λλῳ



Vos opera docui quæ didici: pro quo autem
Opere diuino homicidialem perſoluentes retribu-
tionem,
In me lapidoſis exarmati eſtis telis?
Populus autẽ reſpondit viciſſim, Non propter opus
Bonum rabiem habentes congregati ſunt ciues,
Vt te lapidoſa occultent tunica:
Sed maledicum tuum propter os,
Quòd terrenæ habens germen generationis,
Mortalis exiſtens, dicis te Deum eſſe. Oppoſito autẽ
Chriſtus indubitatum ſermonem dixit populo,
Nonne lex veſtra ſignata hæc profert,
Dixi ego, Dii eſtis? &, ſi terreſtribus quoſdam ex
viris,
Ad quos tũc ſolum venit Dei verbum ſimile ſomnio,
Veſtræ legis Deos vocauit cantus,
Et ſcripti libri reſciſſa eſſe diuina vox
Non poteſt: de Verbo quod altiregens dedit mũdo,
Et puræ manus ſancta obſignauit lege,
Vos inſipientem ſermonẽ loquuti eſtis inſanientes,
Quia Dei viui ego ſum filius. noſtri autem
Si non ego perficio vitalis opera patris,
Nunquam mihi creditis: & ſi vitæ datore verbo
Noſtro patre æterno digna facio
Operibus noſtris, quæ vidit teſtificans viſus:
Vt cognoſcatis à Deo inſpirato quodam ſermone,
Quòd in me eſt pater meus: quòd & ipſe
Propè apparens, indiuiſus, compar ſum patri.
Ieſum autẽ incomprehenſibilem tentarunt capere
Imprudentes quidam viri: ille autem celeri pede e-
uadens
Impiorum è manibus, Iordani fluuii
Regionem in oppoſitam diſceſſit: & ipſum euntem
Infinitus ſequebatur ſimul vadentiũ cœtus virorum.

Alteri

Ἄλλῳ δ' ἄλλος ἔλεξε, χέων πειθήμονα βουλήν,
Θαῦμα μὲν ἐμπεδόμυθος ἰδεῖν θηήτορι λαῷ
Οὐδὲν Ἰωάννης ἐπεδείκνυεν· ἀμφὶ δὲ τούτου
Ὄμμασιν ἀπλανέεσσιν ἐτήτυμα πάντα δοκεύω
Ὁππόσα κεῖνος ἔλεξε. Καὶ ἀνέρες αὐτόθι πολλοὶ
Παιδὶ θεοῦ πίστευον, ἀμιμήτων χάριν ἔργων.
Ἦν δέ τις ἀδρανέων νοσερῷ πυρὶ Λάζαρος ἀνὴρ Κεφ. ια.
Βηθανίης ἔντοσθεν ἀειδομένης, ἀπὸ κώμης
Μάρθης καὶ Μαρίης. Μαρίη δὲ φατίζετο κείνη
Χριστοῦ καλλιέθειρα θεηδόκος, ἣ πόδας αὐτοῦ
Ἀμφοτέρους ἤλειψε μύρου θυόεντος ἐέρσῃ,
Καὶ πλοκάμοις ἀπέμαξε, καὶ ἀμβροσίων ἀπὸ ταρσῶν
Ἀκροφανὴς ἐδίηνε διάβροχον ἰκμάδι χαίτην,
Χριστοῦ καλλιέθειρα θεηδόκος· ἧς τότε θερμῷ
Νουσαλέῳ βαρύγουνος ἱμάσσετο σύγγονος ἀτμῷ.
Γνωταὶ δ' ἀδρανέοντος ὁμόγνιον ὡς ἴδον ἄμφω
Γυιοβόρῳ μάστιγι τετηκότα, γείτονα πότμου,
Ξυνὸν ἔπος προέηκαν ἀλεξικάκῳ βασιλῆϊ,
Λάζαρος ὃν φιλέεις ἑλελίζεται αἴθοπι νούσῳ,
Ὃν φιλέεις σκοπίαζε. Καὶ ἴαχε μῦθον ἀκούσας
Χριστὸς ἄναξ, Οὐ φωτὸς ἐπ' ἀενάῳ τινὶ πότμῳ
Νουσαλέον τόδε πῆμα πυρώπιδες ἤγαγον ὧραι·
Ἀλλὰ θεοῦ τόδε κῦδος ὑπέρτερον, ὄφρα δι' αὐτοῦ
Ἀνθρώπου φίλος υἱὸς ἄναξ ὑψούμενος εἴη
Τιμαῖς ἀθανάτῃσι. Φιλοξείνους δὲ γυναῖκας
Ἰησοῦς ἀγάπαζε φιλοστόργῳ τινὶ θεσμῷ,
Μάρθην, καὶ Μαρίην, καὶ Λάζαρον. ἐν δ' ἄρα χώρῳ
Ὡς κλύεν ἀγγελίην ὅτι Λάζαρος ἄϊδι νεύων
Κέκλιτο, νουσαλέῳ πεπεδημένος ἅψεα δεσμῷ,





Alteri autē alius dixit, fundens credulam ſententiam,
Miraculum quidem firmiloquus ad videndum inſpicienti populo
Nullum Ioannes monſtrauit: de hoc autem
Oculis non errantibus vera omnia video
Quæcunque ille dixit. Et viri ibi multi
Filio Dei credebant inimitabilia propter opera.
Erat autem quidam infirmus morboſo igne Lazarus vir Cap. XI.
Intra Bethaniam celebrem, caſtellum
Marthæ & Mariæ. Maria autem dicebatur illa
Chriſti pulchricoma Dei ſuſceptrix: quæ pedes ipſius
Vtroſque vnxit vnguenti fragrantis rore,
Et capillis abſterſit: & diuinis à pedibus
Per ſumma nitens rigauit madefactum humore capillum,
Chriſti pulchricoma Dei ſuſceptrix, cuius tunc calido
Morboſo grauia habens genua torquebatur frater æſtu.
Sorores autem infirmi fratrem quum vidiſſent ambæ
Membriuora plaga tabefactum, vicinum morti,
Commune verbum præmiſerāt malū depellēti Regi,
Lazarus quem diligis torquetur nigro morbo,
Quem diligis viſita. Et ſonuit vocem audiens
Chriſtus rex, Non viri ad æternam mortem
Morboſam hanc noxam feruidæ adduxerunt horæ,
Sed Dei hæc gloria ſublimis, vt per ipſum
Hominis charus filius Rex exaltetur
Honoribus immortalibus. Hoſpitales autem fœminas
Ieſus dilexit amica quadam lege
Martham & Mariam & Lazarum. In loco autem
Quum audiiſſet nuntiū quòd Lazarus morti annuens
Iacebat, morboſo ligatus membris vinculo,

Διχθαδίης παράμειβε τελεσσιμόρου δρόμον ἠοῦς.
Καὶ μετὰ δίζυγον ἦμαρ ἑοῖς ἀγόρευε μαθηταῖς,
Ἴομεν ἐς κλυτὸν οὖδας Ἰουδαίων πάλιν ἀνδρῶν.
Καί μιν ἀνασχέλλοντες ἐπεφθέγξαντο μαθηταί,
Ῥαββίν, Ἰουδαίης μανιώδεες ἄρτι πολῖται
Λαϊνέοις μάστευον ὀϊστεύειν σε βελέμνοις,
Καὶ σὺ μολεῖν ἐθέλεις ὅθι δήϊοι εἰσὶ πολῖται;
Ἰησοῦς δ᾽ ἀπάμειπτο, παρηγορέων τινὶ μύθῳ
Ξυνὸν ὁμωροφίων νεμεσήμονα θυμὸν ἑταίρων·
Ἤματος οὐ γεγάασι δυώδεκα κυκλάδες ὧραι;
Ἤματος ἀντέλλοντος ὁδοιπόρος οὔποτε κάμπτει
Ταρσὸν ὀλισθηροῖσι παρασφαίοντα πεδίλοις·
Ὃς δὲ διαστείχει λιποφεγγέϊ σύνδρομος ὄρφνῃ
Ποσσὶ χαριζομένοις, σφαλερὴν ὁδὸν ἔνθεν ὁδεύει.
Ὣς φάτο· καὶ μετὰ τοῦτο παλίσσυτος εἶπε μαθηταῖς,
-Ὕπνον ἀναγκαῖον καὶ ἀμεμφέα Λάζαρος εὕδει,
Φίλτατος ἡμείων ξεινοδόκος· ἀλλὰ περήσω
Ὄφρα μιν ἐξ ὕπνοιο παλινδίνητον ἐγείρω.
Καὶ λόγον ἀγνώσσοντες ἐμυθήσαντο μαθηταί,
Λάζαρος εἰ κνώσσει, σόος ἔσσεται. ἀρτιθανῆ μὲν
Ἰησοῦς ἀγόρευε, καὶ φιλοθρήνῳ παρὰ τύμβῳ
Εὕδειν, νεκρὸν, ἄναυδον, ἀνήγρετον ὕπνον ὀλέθρου·
Οἱ δὲ μάτην ἔλποντο φίλον νέκυν ἔνδοθεν οἴκου
Ἡδὺν ὑπὲρ λεχέων παλινάγρετον ὕπνον ἰαύειν.
Ἀμφαδίην δ᾽ ἀγόρευεν ἄναξ οἰκτίρμονι μύθῳ,
Λάζαρον εὔνασε πότμος ὁμοίιος, ἄγριον ἄλλον
Ὕπνον ἄγων· χαίρω δὲ δι᾽ ὑμέας, ὡς ἐνὶ χώρῳ
Οὐ γενόμην ὅτε κεῖνος ὁμίλεε γείτονι πότμῳ.

Ὄφρά κε



Duplicem præteriit mortiferæ cursum auroræ.
Et post duplicem diem suis dixit discipulis,
Eamus ad clarum solum Iudæorum rursus virorum.
Et ipsum reprimentes alloquuti sunt discipuli,
Magister, Iudææ furentes modò ciues
Lapidosis quærebant iaculari te sagittis,
Et tu venire vis vbi hostiles sunt ciues?
Iesus autem respondit, consolans quodam sermone
Communem domesticorum querulum animum sociorum:
Diei non sunt duodecim circulares horæ?
Die exoriente viator non flectit
Pedem lubricis offendentem calceis:
Qui verò incedit cæcæ comes caliginis
Pedibus indulgentibus, erroneam viam hic incedit.
Sic dixit: & deinde reuersus dixit discipulis,
Somnum necessarium & inculpatum Lazarus dormit,
Charissimus noster hospes: sed transibo
Vt ipsum è somno reciprocum excitem.
Et sermonem ignorantes dixerunt discipuli,
Lazarus si dormit sanus erit. recens mortuum enim
Iesus dixit flebili in sepulcro
Dormire, mortuum, mutum, irreuocabilem somnum exitii:
Illi verò frustrà sperabant charum mortuum in domo
Suauem in lecto mutabilem somnum dormire.
Apertè autem dixit Rex misericordi sermonē,
Lazarum consopiuit mors omnibus æqualis, immitem alium
Somnum ferens: gaudeo autem propter vos, quòd in loco
Non fuerim quando ille conuersabatur cum vicina morte:

I. ii.

Ὄφρα κε πίστιν ἔχοιτε, νέκυν μετὰ πότμον ὁδίτην
Δερκόμενοι ζώοντα, πάλιν ψαύοντα τραπέζης
Ξεινοδόκον Χριστοῖο τὸ δεύτερον. ἀλλὰ πρὸς αὐτὸν
Ἴομεν. Εἰσαΐων δὲ διώνυμος ἔννεπε Θωμᾶς,
Ὃν Δίδυμον καλέουσι· συναγρομένοις δὲ μαθηταῖς
Δάκρυσιν ὠδίνουσαν ἀνήρυγε πενθάδα φωνὴν,
Ἴομεν ὁππόθι κεῖνος ἀνὴρ γλυκὺς, ὄφρα σὺν αὐτῷ
Εἰν ἀγάπῃ θνήσκοιμεν ἑνὶ ξυνήονι πότμῳ.
Ἐλθὼν δ᾽ ὀψικέλευθος ἄναξ ἐς ἐθήμονα κώμην,
Λάζαρον ἄπνοον εὗρε χυτῇ στρωθέντα κονίῃ,
Τέτρατον ἦμαρ ἔχοντα γοήμονος ἔνδοθι τύμβου.
Βηθανίη δ᾽ ἑκὰς ἦεν ἀπ᾽ ἄστεος Ἱεροσολύμων
Ὡς τρισσῶν σταδίων καὶ δώδεκα. καὶ πολὺς ἕρπων
Λαὸς Ἰουδαίων ὑπεδύσατο γείτονα κώμην,
Κεῖθι φιλοξείνοιο μετήιε δώματα Μάρθης
Καὶ Μαρίης, γνωτοῖο κατευναστήρια πότμου,
Ξυνὰ παρηγορέων, τὰ γὰρ ἠθάδι πολλάκι μύθῳ
Φρικτὰ πεπηγνυμένης ἀπεσείσατο κέντρα μερίμνης,
Πένθεος ἀγρύπνοιο λυτήρια. πευθομένη δὲ
Φήμης ἀγειρομένης ὅτι κοίρανος εἰσαφικάνει
Μάρθα, ποσὶ φθαμένοισι συνήντεεν. ἐν δὲ μελάθρῳ
Ἐνδόμυχος Μαρίη μαστίζετο πενθάδι σιγῇ.
Χριστοῦ δ᾽ ἐγγὺς ἰοῦσα βαρύστονος ἔννεπε Μάρθα,
Ὦ μάκαρ, εἴπερ ἔης ὅτε Λάζαρος ἄχθετο νούσῳ,
Οὐκ ἂν ἐμὸς τέθνηκεν ἀδελφεός· οἶδα δὲ θυμῷ
Καὶ νῦν ὡς ἅμα πάντα πατὴρ τεὸς ἐγγυαλίξει
Ὅσσα μιν αἰτήσειας. Ἄναξ δ᾽ ἠμείβετο μύθῳ,
Γνωτὸς σὸς παλίνορσος ἐγείρεται. Ἀμβροσίης δὲ
Φωνῆς εἰσαΐουσα τὸ δεύτερον ἔννεπε Μάρθα,





Vt fidem habeatis, mortuum post fatum viatorem
Videntes viuentem, rursus tangentem mensam
Hospitem Christi secundariò. sed ad ipsum
Eamus. Audiens autem binominis dixit Thomas,
Quem Didymum vocant: collectis autem discipulis
Lacrymantẽ dolentem eructauit luctuosam vocem,
Eamus vbi ille vir amabilis, vt cum ipso
In dilectione moriamur vno communi fato.
Veniens autem serò Rex in consuetum castellum,
Lazarum mortuum inuenit sepulcrali stratum puluere,
Quartum diem habentem lugubri in sepulcro.
Bethania autẽ distabat à ciuitate Hierosolymorum
Quasi trium stadiorũ & duodecim. & multus repens
Populus Iudæorum, subiit vicinum castellum,
Ibique hospitalis accessit domum Marthæ
Et Mariæ, fratris ad dormitorium mortis,
Consolari [eas] adiuuans: quod cõsueto sæpius verbo
Horridos concoctæ excussit stimulos curæ,
Luctum vigilem soluendo. audiens autem
Famam vulgatam quòd Dominus venisset,
Martha, pedibus præuenientibus occurrit: in domo autem
Abdita Maria affligebatur luctuoso silentio.
Ad Christum autem accedens valde gemens dixit Martha,
O beate, si adfuisses quãdo Lazarus vrebatur morbo,
Non sanè meus mortuus fuisset frater: scio autem animo
Et nunc quòd simul omnia pater tuus præbebit
Quæcunque ab ipso postulaueris. Rex autem respondit sermone,
Frater tuus rursus excitabitur. Immortalem autem
Vocem audiens iterum dixit Martha,

Οἶδα, καὶ οὔ με λέληθεν ἀνάστασις, ὡς ἐν ἐκείνῃ
Ἔρχεται ὀψιτέλεστος, ὅτε δρόμος ἔσχατος
ἠοῦς.
Καί οἱ Χριστὸς ἔλεξε βιοσσόος ἔνθεον ὀμφήν,
Ζωὴ ἐγὼ γενόμην καὶ ἀνάστασις· ὃς δέ κεν ἀνὴρ
Εἰς ἐμὲ πιστεύσειε, καὶ εἰ νέκυς ἄπνοος εἴη,
Αὖτις ἀναζήσειε· καὶ ὃς φρεσὶ πίστιν ἀέξει,
Οὐ θνήσκει βροτὸς οὗτος, ἕως ἔτι φαίνεται αἰών.
Πείθεαι ὡς ὅδε μῦθος ἐτήτυμος; Εἶπε καὶ αὐτή,
Κοίρανε, γινώσκω, καὶ πείθομαι ὅττι σὺ κόσμῳ
Χριστὸς ἀλεξικάκοιο θεοῦ λόγος υἱὸς ἱκάνεις.
Τοῖον ἔπος λέξασα, παρέστιχεν ὀξέϊ ταρσῷ,
Καὶ Μαρίην ἐκάλεσσεν ὁμόγνιον· οὔασι δ' αὐτῆς
Λάθριον ἐψιθύριζε, Διδάσκαλος ὅττι σαωτὴρ
Ἵκετο, καὶ καλέει σε. καὶ ὠκυτέρη πέλε μύθου
Κείνη ὅπως ἤκουσε. θοῷ δ' ἀνεπάλλετο ταρσῷ,
Πένθεϊ λυομένη καὶ χάρματι· φοιταλέη δὲ
Χριστὸν ἐς ἀγχικέλευθον ἀελλοπὸν εἶχε πορείην.
Λαοὶ δ' οἵτινες ἦσαν ἔσω κινυροῖο μελάθρου,
Καί μιν ἐλαφρίζεσκον ἀκεσσιπόνῳ τινὶ μύθῳ,
Πένθεος ἀγρύπνοιο παρήγοροι, ὡς ἴδον ἄφνω
Ὡς Μαρίη ταχύγουνος ἀνέγρετο φοιτάδι σιγῇ,
Πάντες ἐφωμάρτησαν ὀπισθοπόροισι πεδίλοις,
Ἐλπόμενοι Μαρίην φιλοδάκρυον ὅττι θοροῦσα
Ἐξαπίνης ἤμελλεν ἐς ἠθάδα τύμβον ὁδεύειν,
Ὄφρα πάλιν κλαύσειε πολυθρήνῳ περὶ νεκρῷ.
Οὔπω δ' εὐρυάλωος ἄναξ ἐπεβήσατο κώμης,
Ἀλλὰ μένων ἀτίνακτος ἔτι ζαθέῳ παρὰ χώρῳ
Εἶχε ποδὸς στατὸν ἴχνος, ὅπῃ πάρος ἤντετο
Μάρθῃ.
Καὶ Μαρίη βαρύδακρυς ὅτε σχεδὸν ἵκετο χώρου
Ἧχι μένων ποδὸς ἴχνος ἀκαμπέος εἶχεν Ἰησοῦς,
Αὐτὸν ὅπως ἐνόησεν, ἱμασσομένη φρένα κέν-
τρῳ,





Noui, nec me latet resurrectio, quòd in illa
Excitabitur serò perfectus, quando cursus vltimus
aurorę.
Et ei Christus dixit seruator vitæ diuinam vocem,
Vita ego sum & resurrectio. quicunque vir
In me crediderit, etiamsi mortuus sine spiritu fuerit
Rursus reuiuiscet: & qui mente fidem seruat,
Non moritur homo hic, donec lucet seculum.
Credis quòd hic sermo sit verus? Dixit & ipsa,
Domine, cognosco, & credo quòd tu mundo
Christus malum pellentis Dei Verbum filius venis.
Tale verbum loquuta, incessit celeri pede,
Et Mariam vocauit sororem: in aures autem ipsius
Clanculùm susurrauit, Magister saluator
Venit, & vocat te. Et celerior erat verbo
Illa quum audiuisset: celeri autem palpitabat pede,
Luctu soluta & gaudio. impetuosa autem
Christum ad vicinum velocem habuit viam.
Homines autem qui erant intra flebilem domum,
Et ipsam consolabantur doloricido quodam verbo,
Luctus vigilis consolatores, quum viderent subitò
Quòd Maria velox excitaretur vago silentio,
Omnes sequebantur retrogradis pedibus,
Putantes Mariam lacrymantem quòd curreret
Subitò, velle ad consuetum tumulum ire,
Vt rursus ploraret flebilem apud mortuum.
Nondum enim amplæ regionis Rex ingressus erat ca
stellum,
Sed manens immotus adhuc diuino in loco
Habebat pędis stabile vestigium, vbi antea occurrit
Martha.
Et Maria lacrymans quũ propè venisset ad locum
Vbi manens pedis vestigium non flexi habebat Iesus,
Ipsum quum animaduertisset, verberata mente sti-
mulo,

Πρηνὴς αὐτοκύλιστος ὑπὲρ δαπέδοιο πεσοῦσα,
Παρ᾽ ποσὶν ἀμβροσίοις ἐπεκέκλιτο. μυρομένη δὲ
Ἰκμάδι πενθαλέῃ ζαθέους ἐδιήνατο ταρσούς,
Μῦθον ἐρευγομένη βεβιημένον. ἐκ φάρυγος δὲ
Δάκρυσι νικηθεῖσα μόλις πορθμεύετο φωνή,
Ὦ μάκαρ, εἰ παρέης, οὐ Λάζαρος εἴκαθε πότμῳ.
Καὶ Μαρίην στενάχουσαν ἰδὼν, καὶ ὁμήλυδας αὐτῇ
Υἷας Ἰουδαίων νεοπενθέας, ὧν ὑπὸ πολλῷ
Ὄμβρῳ δακρυόεντι περιρραίνοντο παρειαί,
Πνεύματι πατρῴῳ δεδονημένος, ἴαχε φωνήν,
Δείξατέ μοι πόθι κεῖνον ἐθήκατε. καὶ φάσαν αὐτῷ,
Ἔρχεο καὶ σκοπίαζε. καὶ ἔστενεν αὐτὸς Ἰησοῦς,
Ὄμμασιν ἀκλαύτοισιν ἀήθεα δάκρυα λεί-
βων.
Καί τινες ἀθρήσαντες ἐνίαχον αὐτίκα λαοί,
Ἤνιδε πῶς φιλέει καὶ Λάζαρον οὐ παρεόντα.
Ἄλλοι δ᾽ ἀντιάχησαν, Ἀλεξικάκῳ τινὶ πη-
λῷ
Ὀφθαλμοὺς μερόπων λιποφεγγέας οὗτος ἀνοίξας,
Ἔργον ἴσον τελέειν οὐκ ἔσθενεν, ὄφρα καὶ αὐτὸς
Μὴ φονίῳ νέκυς οὗτος ὁμιλήσειεν ὀλέθρῳ;
Τοῖα μὲν εἶπεν ἕκαστος. ἐπειγομένῳ δὲ πεδίλῳ
Ἀχνυμένης βρομίηδὸν ἀπὸ φρενὸς οἶκτον ἀνέλ-
κων
Ἰησοῦς πεφόρητο, καὶ ἤιεν ἐγγύθι τύμβου·
Καὶ χθόνιον σπέος ἦεν ἔσω γλαφυροῖο μελάθρου,
Καὶ λίθος ἀντιτύποιο φέρων μίμημα θυρέτρου,
Ἀμφιπαγὴς, ἰσόμετρος ἐρείδετο χάσματι
τύμβου.
Ἰησοῦς δ᾽ ἐκέλευσεν ἄναξ πειθήμονι λαῷ,
Λᾶαν ὑπωροφίοιο μεταστήσασθε μελάθρου.
Μάρθα δὲ τεθνειῶτος ὁμόγνιος ἴαχε φωνήν,
Κείμενον ἀντιθύρετρον ἔα λίθον. οἰγομένου γὰρ
Χάσματος οὐδαίοιο, δυσήνεμος ἔρχεται ὀδμή,

Ὅτι



Prona per ſe voluta in pauimentum cadens,
Iuxta pedes immortales inclinabatur. lugens autem
Humore lugubri diuinos madefecit pedes,
Sermonem eructans coactum. è faucibus autem
Lacrymis victa vix egrediebatur vox,
O beate, ſi adfuiſſes, non Lazarus ceſſiſſet fato.
Et Mariam gementem videns, & comites eius
Filios Iudæorum recèns lugentes, quorum multo
Imbre lacrymoſo circumſpergebantur genæ,
Spiritu paterno agitatus ſonuit vocem,
Oſtẽdite mihi quò ipſum poſuiſtis. & dixerunt ipſi,
Veni & vide. & ingemuit ipſe Ieſus,
Oculis non lacrymantibus inconſuetas lacrymas
ſtillans.
Et quidam aſpicientes dixerunt ſtatim ex populo,
Ecce quomodo diligebat & Lazarum non præſentẽ.
Alii autem contrà ſonuerunt, Malum depellente quo-
dam luto
Oculos hominum cæcos hic qui aperuit,
Opus æquale perficere non potuit, vt & ipſe
Non lethali mortuus hic congrederetur exitio?
Talia quidem dixit quilibet. incitato autem pede
Dolentibus cum fremitu ex præcordiis commiſera-
tionem trahens
Ieſus ferebatur, & iuerat prope tumulum:
Et terreſtris ſpelunca erat intra cauatam domum,
Et lapis expreſſi ferens imitationem oſtii,
Solidus, æquam menſuram habens nitebatur voragi-
ni tumuli.
Ieſus verò iuſſit rex credenti populo,
Lapidem à domeſtico remouete ſepulcro.
Martha autem mortui ſoror ſonuit vocem,
Iacentem qui vice oſtii eſt ſine lapidem. aperto enim
Hiatu terreſtri, grauiter fœtens venit odor,

Quia

Ὅτι τεταρταῖος τελέθει νέκυς ἔνδοθι τύμβου.
Ἰησοῦς δ' ἀπάμειπτο καὶ ἔννεπε πενθάδι Μάρθῃ,
Οὐ σοὶ τοῦτο πάρος διεπέφραδον, ἢν ἄκε φυλάξῃς
Χείλεσιν ὑμετέροισι σοφὴν σφρηγῖδα σιωπῆς,
Ὀρθὴν πίστιν ἔχουσα, καὶ οὐ διχόμητις ἐοῦσα,
Ὄψεαι οὐρανίοιο θεοῦ ζωαρκέα τιμήν.
Οἱ μὲν λᾶαν ἄειραν· ἄναξ δ' ἀντώπιος ἄστρων
Ὀφθαλμοὺς ἀνάειρεν, ἑῷ δ' ἐβόησε τοκῆϊ,
Σοὶ χάρις, ὡς ἐμέθεν πάτερ ἔκλυες. οἶδα δὲ θυμῷ
Ὡς ἐμέθεν βοόωντος ἀεὶ σέο παιδὸς ἀκούεις·
Ἀλλὰ χάριν λαοῖο παρισταμένοιο πιφαύσκω,
Ὄφρα κε πίστιν ἔχοιεν ἀρείονα μᾶλλον ἀκούειν
Ὅτι σύ με προέηκας, ἐσαθρήσαντες ὀπωπαῖς
Νεκρὸν ἀελλήεντα διαστείχοντα βερέθρου,
Ἰλλόμενον δεσμοῖσι, καὶ οὐ πίπτοντα κονίῃ.
Εἶπε· καὶ ἐσμαράγησε διαπρυσίῃ τινὶ φωνῇ,
Ἔξιθι Λάζαρε δεῦρο. λιποφθόγγοιο δὲ νεκροῦ
Ἄπνοον ἐψύχωσε δέμας νεκυοσσόος ἠχώ.
Ἄπνοον ἄνδρα κάλεσσε, καὶ ἔτρεχε νεκρὸς ὁδίτης,
Στείχων αὐτοκέλευθος ὁμοπλέκτῳ χθόνα ταρσῷ·
Ἄπνοον ἄνδρα κάλεσσε, καὶ ἐν φθιμένοισιν ἀκούσας,
Ἐξ ἄϊδος νόστησε φυγὰς νέκυς, ὄψιμον ἄλλην
Ἀθρήσας μετὰ τέρμα βίου παλινάγρετον ἀρχὴν
Θαμβαλέην. Ἀΐδης δὲ μάτην παρὰ γείτονι Λήθῃ
Πανδαμάτωρ ἀδάμαστον ἐδίζετο νεκρὸν ἀλήτην.

Καὶ ποδὸς



Quia quatriduanus eſt mortuus in ſepulcro.
Ieſus autem reſpondit & dixit lugenti Marthæ,
Nónne tibi hoc antea dixi? ſi cuſtodieris
Labiis tuis ſapiens ſigillum ſilentii,
Rectam fidem habens, & non duplicis conſilii exiſtens,
Videbis cœleſtis Dei viuificum honorem.
Illi quidem lapidem abſtulerunt: Rex verò contrà intuens aſtra
Oculos ſuſtulit,& ad ſuum clamauit patrem,
Tibi gratiæ quòd me pater audiuiſti: ſcio verò animo
Quòd me clamantem ſemper tuum filium audis:
Sed propter populum circumſtantem loquor,
Vt fidem habeant meliorem magis ad audiendum
Quòd tu me præmiſiſti,inſpicientes oculis
Mortuum velocem egredientem è ſepulcro,
Cinctum vinculis,& non cadentem puluere.
Dixit: & reſonuit penetrabili quadam voce,
Exi Lazare foras. muti autem mortui
Spiritu carens animauit corpus mortuos ſuſcitans ſonus.
Exanimem virum vocauit, & cucurrit mortuus viator,
Incedens ſponte ſimul complicato ad terram pede:
Non ſpirantem virum vocauit, & inter mortuos audiens,
Ex inferis rediit profugus mortuus, ſerum aliud
Aſpiciens poſt metam vitæ rurſus congregatum principium
Admirandum. Pluto verò fruſtrà apud vicinam Lethem
Omnia domans, indomitum quærebat mortuum errantem.

Et pede

Καὶ ποδὸς ὀρθωθέντος ἀκαμπέα γούνατα σύρων,
Τυφλὴν ἰθυκέλευθον ἔχων αὐτόποον ὁρμήν,
Αὐδήεις νέκυς ἔσκε, καὶ ἐκ ποδὸς ἄχρι καρήνου
Σφιγγόμενον πλεκτῇσιν ὅλον δέμας εἶχε κε-
ρείαις.
Θερμὸν ἔχων ἱδρῶτα καλυπτομένοιο προσώπου·
Καὶ λινέῳ πεπύκαστο καλύμματι κυκλάδα
κόρσην,
Σουδάριον τόπερ εἶπε Σύρων στόμα. θαμβαλέῳ δὲ
Ἑσταμένῳ νεφεληδὸν ἄναξ ἐπετέλλετο λαῷ,
Λύσατέ μοι καὶ κοῦφον ἐάσατε νεκρὸν ὁδεύειν.
Ὣς φαμένου βασιλῆος, ὁμόζυγες αὐτίκα λαοὶ
Καὶ μιγάδος ῥήξαντο παλίλλυτα δεσμὰ κε-
ρείης,
Καὶ μελέων βαρύδεσμον ἐγυμνώσαντο καλύπτρην.
Καὶ νέκυς εἰς δόμον ἦλθε τοδεύτερον ἠθάδι ταρσῷ,
Φέγγος ἰδὼν πεμπταῖον. Ἰουδαίων δ' ἄρα πολλοὶ,
Μάρθης καὶ Μαρίης ἐπὶ πένθιμον οἶκον ἰόντες
Παιδὶ θεοῦ πίστευον, ἐσαθρήσαντες ὀπωπαῖς
Κοίρανος ἔργον ἄπιστον ὅπερ κάμε, νεκρὸν ἐγεί-
ρας
Λάζαρον ἀχλυόεντος ἀναθρώσκοντα βερέθρου,
Νόστιμον ἐκ νεκύων ταχινῷ ποδί. Καί τινες αὐτῶν
Εἰς πόλιν ἴχνος ἔκαμψαν ἐς ἀντιθέους ἱε-
ρῆας,
Πληθυῒ κηρύσσοντες ἀπιστοτάτων Φαρισαίων
Ἔργα θεοῦ Χριστοῖο. καὶ ἄφρονες ἀρχιερῆες
Εἰς ἀγορὴν ἀγέροντο πολύθροον, ἧχι γερόντων
Εἰς ἓν ἀγειρομένων πρωτόθρονος ἕζετο βου-
λή.
Ἄλλῳ δ' ἄλλος ἔειπε, Τί ῥέξομεν; ἀντίπαλος
γὰρ
Ἀλλοφανὴς βροτὸς οὗτος ὑπέρτατα σήματα φαίνει.
Εἰ δέ ἑ καλλείψοιμεν ὁμοῖια σήματα ῥέζειν,





Et pede directo inflexibilia genua trahens,
Cæcum rectigradum habens oppositum impetum,
Vocalis mortuus erat, & à pede vſque ad caput
Conſtrictum complicatis totum corpus habebat fa-
ſciis ſepulcralibus,
Calidum habens ſudorem tectæ faciei:
Et lineo munitus erat velamine circa orbiculatum
caput,
Sudarium quod vocat Syrorum os. attonito autem
Aſtanti nubis inſtar Rex præcepit populo,
Soluite mihi & leuem ſinite mortuum ambulare.
Sic loquente Rege, compares ſtatim homines
Et mixtarum ruperunt rurſus ſolubilia vincula fa-
ſciarum,
Et membrorum grauis vinculi nudarunt tegmen:
Et mortuus in domum venit iterum conſueto pede,
Lucem videns quintanam. Iudæorum ſanè multi
Marthæ & Mariæ ad luctuoſam domum euntes
Filio Dei crediderunt, aſpicientes oculis
Dominus opus incredibile quod fecit, mortuum ſu-
ſcitans
Lazarum, à caliginoſo exilientem barathro,
Reuerſum ex mortuis celeri pede. Et quidā illorum
In ciuitatem veſtigium flexerunt ad eximios ſacer-
dotes,
Multitudini prædicantes incredulorum Phariſæorū
Opera Dei Chriſti. & imprudentes pontifices
In forum congregabantur multiſonum, vbi ſeniorum
In vnum congregatorum primariæ ſedis conſedebat
conſilium.
Alteri autem alius dixit, Quid faciemus? aduerſarius
enim
Variè apparentia homo hic ſublimia ſigna oſtendit.
Si verò ipſum reliquerimus ſimilia ſigna facere,

Ἡμῖν οὐκέτι λαὸς ἐφέψεται, ἀλλ' ἑνὶ μούνῳ
Ἀνέρι πιστεύοντες ὁμαρτήσουσι πολῖται·
Πάντες ὁμαρτήσουσι· καὶ ἀνέρες Αὐσονιῆες
Ἡμείων ὅλον ἔθνος ἀφαρπάξουσι μολόντες,
Ἔθνος ὁμοῦ καὶ χῶρον. Ἀνὴρ δέ τις ἦεν ἐν αὐτοῖς
Καϊάφας, ἀθέμιστος, ἐπίκλοπος, ὃς τότε κείνου
Ἀρχιερεὺς λυκάβαντος ἔην, ὀχετηγὸς ἑορτῆς.
Οὗτος Ἰουδαίοισι δολοπλόκον ἴαχε φωνήν,
Οὐδὲν ἀπειρήτῳ πεπνυμένον ἴστε μενοινῇ,
Οὐδὲ νόῳ φράζεσθε τί φέρτερον· ὅττι πολίτην
Καλὸν ὑπὲρ λαοῖο θανεῖν ἕνα, μὴ χάριν αὐτοῦ
Ἡμείων ὅλον ἔθνος ὀλισθήσειεν ὀλέθρῳ·
Ἀνδρὸς ἑνὸς θνήσκοντος ὅλη πόλις εὔδιος ἔσται.
Αὐτόματος δ' οὐ τοῦτο θεοπρόπος ἔννεπεν ἀνήρ,
Ἀλλὰ θυηπολίῃ μεμελημένος, οἷά τε κείνου
Ἀρητὴρ λυκάβαντος ἀήθεϊ θέσπισε φωνῇ,
Ὅττι θανεῖν ἤμελλεν ἑκὼν ζωαρκέϊ πότμῳ
Χριστὸς Ἰουδαίων ὑπὲρ ἔθνεος· οὐ περὶ μούνου
Ἔθνεος, ἀλλ' ἵνα τέκνα θεοῦ κεκεδασμένα κόσμῳ
Εἰς ἓν ἀολλίσσειεν. ἀπ' ἀρχεκάκοιο δὲ κείνης
Ὥρης μῆτιν ὕφαινον ἀναιδέες ἀρχιερῆες,
Καὶ χορὸς ἀγκυλόμητις ἀπιστοτάτων Φαρισαίων,
Ἰησοῦν ἵνα πάντες ἑνὶ κτείνωσιν ὀλέθρῳ.
Οὐκέτι δ' ἀμφαδίην λαοσσόος εἶχε πορείην
Χριστὸς ἐν Ἑβραίοισιν· ἀδουπήτῳ δὲ πεδίλῳ
Ἀγνὸν Ἰουδαίης παρεμέτρεε κόλπον ἀρούρης·
Χώρης ἐγγὺς ἵκανεν ὀρειάδος ἐγγὺς ἐρήμου,
Εἰς πόλιν, ὁππόθι μίμνε σὺν ἀντιθέοισι μαθηταῖς,
Ἐφρὲμ τὴν καλέουσι. καὶ ἐγγύθεν ἦεν ἑορτὴ
Πάσχα πολυκλήϊστον· ἀπ' εὐρυάλοιο δὲ γαίης
Πολλοὶ Ἰουδαίων ὁμοτέρμονες ἀνέρες ἐρήμου

Μυστ-



Nos non amplius populus sequetur, sed vni soli
Viro credentes adhærebunt ciues:
Omnes eum sequentur: & viri Romani
Nostram totam gentem auferent venientes,
Gentem simul & locum. Vir autem erat inter ipsos
Caiaphas, nefarius, versutus, qui tunc illius
Pontifex anni erat, ductor festi.
Hic Iudæis nec idolum sonuit sermonem,
Nihil inexperta prudens scitis mente,
Neque animo consideratis quid conducibilius: quia ciuem
Bonum est pro populo mori vnum, ne propter ipsum
Nostra tota gens cadat exitio:
Viro vno moriente tota ciuitas tranquilla erit.
A seipso autem non hoc vaticinans dixit vir,
Sed sacrificio destinatus, tanquam illius
Sacerdos anni inconsueta vaticinatus est voce,
Quòd moriturus erat volens vitam ferente morte
Christus Iudæorum pro gente: & non pro sola
Gente, sed vt filios Dei dissipatos in mundo
In vnum congreget. à malorum autore autem illa
Hora consilium texerunt impudentes pontifices,
Et cœtus versutus incredulorum Pharisæorum,
Iesum vt omnes vno interficerent exitio.
Non amplius verò apertum saluans populum habebat iter
Christus inter Hebræos: tacito verò pede
Sanctum Iudææ transmisit eundo sinum terræ:
Ad locum vicinum venit montanum prope desertum,
In ciuitatem, vbi mansit cum diuinis discipulis,
Quam Ephraim vocant. & propè erat festum
Pascha multum celebratum: ab ampla autem terra
Multi Iudæorum vicini viri deserto

Sacra

Μυστιπόλων ἀνέβαινον ἐς ἕδρανον Ἱεροσολύ-
μων,
Ὄφρα προφοιβάσωσι δέμας ζαθέοισι καθαρμοῖς,
Πρὶν παρὰ ἀσιγήτοιο φανήμεναι ἦμαρ ἑορτῆς.
Καὶ πολέες δίζοντο θυώδεος ἔνδοθι νηοῦ
Ἰησοῦν ἀπεόντα, θεηγόρον· ἑσταότες δὲ
Ἀλλήλοις ὀάριζον. ἐπεφθέγγοντο δὲ λαοὶ,
Ὑμῖν φραζομένοισι τί φαίνεται, ὅτι περῆσαι
Οὐ δύναται βροτὸς οὗτος ἐς ἀρτιχόρευτον ἑορτήν;
Καὶ ναέταις ἐπέτελλον ἀπειθέες ἀρχιερῆες
Καὶ χορὸς ἀγκυλόμητις ὑπερφιάλων Φαρισαίων,
Ὄφρα μιν ὅστις ἴδοιτο κατὰ πτόλιν, ἢ καὶ ἀκούσῃ,
Πληθύϊ κηρύξειε δολορράφων Φαρισαίων,
Ὄφρα μιν ἐχθρὸς ὅμιλος ἀποκτείνειε πιέσας.

Χώρης δ' εὐρυάλωος ἐρημάδα πέζαν ἐάσας — Κεφ. ιβ.

Ἰησοῦς ἀκίχητος ἐθήμονα δύσατο κώμην,
Δύσατο Βηθανίην, ὅθι Λάζαρον ἐγγύθι
τύμβου
Ἐκ νεκύων ἤγειρε, χέων ψυχοστόλον ἠχώ·
Δύσατο Βηθανίην, ὅτε γείτονος εἶχον ἑορτῆς
Ἓξ πάρος ἤματα μοῦνα λελειμμένα κυκλάδες ὧραι,
Καί οἱ δόρπον ἔθεντο· φιλοστόργῳ δὲ μενοινῇ
Μάρθα διακτορίην πολυχανδέος εἶχε τραπέ-
ζης.
Εἷς δ' ἦν δαιτυμόνων ἔτι Λάζαρος, ἶσος ὀνείρῳ
Παμφανής. Μαρίη δὲ μύρου θυόεντος ἑ-
λοῦσα
Πιστικῆς τρία μέτρα φατιζομένης ἀπὸ νάρδου,
Μάρμαρον ἤρταζε βεβυσμένον ἄγγος ἐέρσης
Ἠΰκομος Μαρίη· καὶ δαιτυμόνος βασιλῆος,
Θεσπεσίους ἤλειψε μύρῳ πόδας· ἐκταδίῃ δὲ
Ἰκμάδα πιαλέην ἀπεμάξατο μαχλάδι χαίτῃ.
Νηχομένη δ' ἐμέθυσεν ὅλον δόμον ἔνθεος ὀδμή.





Sacra tractantium ascendebant ad sedilia Hierosoly-
morum,
Vt antè purificarent corpus diuinis purificationibus,
Priusquam celebris appareret dies festi.
Et multi quærebant odorato in templo
Iesum absentem, diuiniloquum: stantes verò
Inter se loquebantur. dixit autem populus,
Vobis considerantibus quid videtur, quòd transire
Non potest homo hic ad recèns celebratum festum?
Et habitatoribus præceperunt increduli pontifices
Et cœtus versutus superborum Pharisæorum,
Vt ipsum quicũque viderit per ciuitatẽ, vel audierit,
Multitudini indicet dolosorum Pharisæorum,
Vt ipsum hostilis cœtus interficiat capiens.

Regionis autem amplæ desertam terram relinquens — Cap. XII.

Iesus incõprehensibilis, consuetum subiit castellum,
Subiit Bethaniam, vbi Lazarum prope tumulum
Ex mortuis suscitauit, fundens animam mittentem
sonum:
Subiit Bethaniam, quando vicini habebant festi
Sex adhuc dies solos relictos horæ.
Et ei conuiuium instruebant: amico autem animo
Martha administrationem capacis habebat mensæ.
Vnus autem erat conuictorum & Lazarus, similis so-
mnio
Omnibus apparens. Maria autem vnguenti fragran-
tis sumens
Pistica tres mensuras nominati à nardo,
Marmoreum portabat repletum vas rore
Pulchricoma Maria: & conuiuantis Regis
Diuinos vnxit vnguento pedes. extensa autem
Humorem pinguem abstersit molli capillo.
Natans autẽ impleuit totam domum diuinus odor,

Καὶ φθονεροῖς στομάτεσσι δολοπλόκος εἶπεν Ἰούδας,
Ὃς μιαροῖς μιν ἔμελλεν Ἰουδαίοισι προδώσειν,
Τίπτε τριηκοσίων οὐ πέπραται, ἤ τινι μέτρῳ
Πλείονι δηναρίων τόδ᾽ ἔπου μύρον, ὄφρα δοθείη
Πτωχοῖς δευομένοισι, καὶ οὐ στροφάλιγγι κονίης;
Τοῦτο δ᾽ ἐκεῖνος ἔλεξε δολοπλόκος, οὐχ ὅτι φωτῶν
Ἀκτεάνων ἀλέγιζεν ἀμείλιχος, ἀλλ᾽ ὅτι μοῦνον
Κλέπτης ἦν, κτεάνων νικώμενος· εἶχε δὲ κίστην
Τῇ ἔνι χαλκὸς ἔκειτο· καὶ ὁππόσα βούλετο χηλῷ
Αὐτὸς ἀνήρπαζε φύλαξ κακός. ἀλλά ἑ μύθῳ
Ἰησοῦς ἀνέκοψεν, ἑῷ δ᾽ ἀγόρευε φονῆϊ,
Θηλυτέρης λίπε δῶρον ἀμεμφέος, ὄφρα φυλάξῃ
Σώματος ἡμετέρου κειμήλιον, εἰσόκεν ἔλθῃ
Φοίνιος ἡμετέρων κτερέων ἐπιτύμβιος ὥρη.
Πτωχοὶ γὰρ παρέασιν ἀπείρονες αἰὲν ἑτοῖμοι
Ὑμῖν διζομένοισιν· ἐπειγόμενοι δέ με λεύσσειν,
Οὐκ αἰεὶ παρεόντα κιχήσετε. Πιστότατος δὲ
Λαὸς Ἰουδαίων ἀγχίπολις ἔκλυε φήμης
Οὔασι τερπομένοις, ὅτι νόστιμος ἦλθεν Ἰησοῦς
Ἔνθεον ἴχνος ἔχων ἐπιδήμιον ἠθάδι κώμῃ,
Μάρθης ὁππόθι δῶμα. καὶ ἔτρεχεν ἐσμὸς ὁδίτης
Ἄσπετος, ἄλλοθεν ἄλλος ὁμόστολος, οὐχ ἵνα μοῦνον
Ἰησοῦν ἐσίδοιτο βιοσσόον, ἀλλὰ καὶ αὐτὸν
Λάζαρον, ὃν παλίνορσον ἀναστήσας ἀπὸ νεκρῶν
Ἔμπνοον ἐψύχωσε, χέων φυσίζοον ἠχώ.
Καὶ φθονεροὶ μενέαινον ἀναιδέες ἀρχιερῆες,
Καὶ ζαμενὴς Φαρισαίων ὅλος χορὸς, ὄφρα καὶ αὐτὸν
Λάζαρον ἀχλυόεντι πάλιν πέμψωσι βερέθρῳ,
Νόστιμον ἐκ νεκύων, ἑτέρῳ κτείνοντες ὀλέθρῳ.
Πότμον ἔτι πνείοντα παλαίτερον, ὄφρα τις εἴπῃ,
Λάζαρος οἶτον ἄλυξε, καὶ οὐ φύγεν ἀρχιερῆας.





Et inuido ore nectidolus dixit Iudas,
Qui impuris ipsum erat Iudæis proditurus,
Cur trecentis non venditur, vel aliqua mensura
Maiore denariorum hoc vnguentum, vt detur
Pauperibus indigentibus, & non vertigini pulueris?
Hoc verò ille dixit nectidolus, non quòd hominum
Pauperum curam haberet, immitis, sed solùm quòd
Fur erat, à possessionibus superatus: habebat autem marsupium
In quo pecunia iacebat: & quæcunque volebat loculò
Ipse extulit custos malus. sed ipsum sermone
Iesus repressit, suóque dixit homicidæ,
Fœminæ sine donum inculpatæ, vt seruet
Corporis nostri monimentum, donec veniat
Lethalis nostræ sepulturæ funesta hora.
Pauperes enim adsunt infiniti semper prompti
Vobis quærentibus: incitati autem ad me videndum
Non semper præsentẽ deprehendetis. Credulus autẽ
Populus Iudæorum vrbi vicinus audiuit famam
Aurib⁹ voluptate affectis, quòd reuersus venisset Ies⁹
Diuinum vestigium habens peregrinum in consueto castello,
Marthæ vbi domus. & cucurrit cœtus viator
Infinitus, aliunde alius comes, non vt solum
Iesum videret vitam seruantem, sed & ipsum
Lazarum, quem reducem exsuscitans ex mortuis.
Viuentem animauit, fundens viuificantem sonum.
Et inuidi cupiebant impudentes pontifices,
Et furibundus Pharisæorum totus cœtus, vt & ipsum
Lazarum ad caliginosum rursum mitterent barathrum,
Reducem ex mortuis, altero interficientes exitio,
Mortem adhuc spirantem priorem: vt quis diceret,
Lazarus mortem euasit & non effugit pontifices.

Τοῦτον ἑλεῖν μεμαῶτες ἀναίτιον, ὅττι δι' αὐ-
τὸν
Λαὸς Ἰουδαίων μεταναστάμενος ἔνδια κώμης,
Παιδὶ θεοῦ πίστευον, ἀλεξιμόρῳ βασιλῆϊ.
Ἀκροφανὴς δ' ὅτε νύκτα λιπόσκιον ἔσχισεν
ἠώς,
Λαὸς ὃς ἀγχιπόροιο μετήϊε κῶμον ἑορτῆς,
Φήμης εἰσαΐοντες ὅτι ζαθέης ἀπὸ κώμης
Ἰησοῦς ἐς ἔδεθλον ἐλεύσεται Ἱεροσολύμων,
Ἤλυθον ἀντιάσαντες· ἀπ' εὐδένδροιο δὲ κήπου
Ἀκρικόμους φοίνικας ἐγυμνώσαντο κορύμβων·
Καὶ χλοεροὺς ὅρπηκας ἐς ἠέρα λαὸς ἑλίσσων,
Εὐφήμοις στομάτεσσιν ἀνέκλαγε σύνθροον ἠχώ,
Εὐλογίῃσιν ἄναξ Ἰσραὴλ αἰνετὸς ἔστω,
Ἀθανάτου ὁ ἐν οὐνόματι κοσμήτορος ἥκων.
Καὶ πολλοῦ ἔνθα καὶ ἔνθα κορυμβοφόροιο κελεύθου
Δίζυγα πομπὸν ἔχων καὶ ὀπίστερον ἑσμὸν ὁδί-
την
Ἰησοῦς, προφόρητο μέσον μεσσούμενος ἀνδρῶν,
Ἰθύνων ἀχάλινον ὄνον, ταλαεργὸν ὁδίτην,
Ἑζόμενος νώτοισιν ἀπειρήτοιο φορῆος,
Ἡσαΐας περ ἔειπεν ὅπως πληρούμενον εἴη,
Μητέρος ὑψιλόφου θύγατερ μὴ δείδιθι Σιών·
Ἤδη ποικιλόδωρος ἄναξ τεὸς εἰς σὲ περήσει,
Πῶλον ἔχων ταχύγουνον ὀπιδεύοντα τεκούσῃ.
Καὶ τὰ μὲν οὐ τὸ πρόσθεν ἐπεφράσσαντο μαθηταί·
Ἀλλ' ὅτε παμμεδέουσαν ἑὴν ἀνεδύσατο μορ-
φὴν
Χριστὸς ἄναξ, τότε πάντες ἀνεμνήσαντο μαθηταί
Ὅττι σοφῇ τάδε πάντα πέλει κεχαραγμένα βίβλῳ.
Καὶ οἱ ταῦτα τέλεσσαν. ἔην δ' ἄρα μάρτυς ἰωὴ
Λαῶν συμμιγέων, ὅτε Λάζαρον ἔκτοθι τύμβου
Ἰησοῦς ἐκάλεσσε, τεταρταῖον δὲ θανόντα
Ἐκ νεκύων ἤγειρε, χέων ψυχοσσόον ἠχώ.

Οὐ χάριν



Hunc interficere cogitabant inſontem, quòd propter
ipſum
Populus Iudæorum tendens ad mœnia caſtelli,
Filio Dei crediderat, malum depellenti regi.
Per ſumma nitens autem quum noctem tenebroſam
diuiſiſſet aurora,
Populus qui vicini acceſſit ſolennia feſti,
Famam audiens quòd diuino è caſtello
Ieſus ad ſolum venturus eſſet Hieroſolymorum,
Venit occurrens: ab arboribus conſito autem horto
Summicomas palmas nudauit corymbis :
Et virides ramos in aerem populus circumagens,
Bene precante ore clangebat conſonam vocem,
Celebrationibus rex Iſrael laudatus ſit,
Immortalis in nomine principis veniens.
Et multum hinc & hinc ramiferæ viæ
Duplicem ductorem habens & poſteriorem cœtum
viatorem
Ieſus, ferebatur medium dimetiens virorum,
Regens effrænem aſinum, laborioſum viatorem,
Sedens ſuper dorſum inexperti baiuli,
Eſaias quod dixit vt impleretur,
Matris ſublimis filia ne timeas Sion:
Iam varia dona præbens rex tuus ad te tranſibit,
Pullum habens velocem inſequentem matrem.
Et hæc quidem non antè conſiderarunt diſcipuli:
Sed quando omnium rectricem ſuam iterum aſſum-
pſit formam
Chriſtus rex, tunc omnes recordati ſunt diſcipuli
Quòd ſapienti hæc omnia eſſent ſignata libro,
Et ipſi hæc feciſſent. erat autem teſtificans vox
Populi commixti, quando Lazarum è ſepulcro
Ieſus vocauit, quatriduanúmque mortuum
Ex mortuis excitauit, fundẽs animas reducentẽ ſonũ.

Οὗ χάριν ἀντιόων πολὺς ἔρρεεν ἐσμὸς ὁδίτης,
Χριστὸν ἀγαλλάζων νεκυοσσόον, υἱέα Δαβίδ.
Ἀλλήλοις δ᾽ ὀάριζον ὁμοφραδέες Φαρισαῖοι,
Ἡμῖν ποῖον ὄνειαρ ἀέξεται; ἀμφιλαφὴς γὰρ
Κόσμος ὅλος πολύμορφος ἑνὸς κατόπισθεν ὁδεύει,
Καὶ δόλος ἡμείων θανατηφόρος οὐδὲν ὀνήσει.
Καί τινες Ἑλλήνων ἔσαν ἀνέρες, οἵ ποτε πολλοὶ
Θεσπεσίης ἀνέβαινον ὀπιπευτῆρες ἑορτῆς.
Ἰησοῦ δ᾽ ἀΐοντες ἀειδομένης ἀπὸ φήμης,
Ἀγχιμόλῳ προσιόντες ἐπεφθέγξαντο Φιλίππῳ,
Χριστὸν ἰδεῖν ἐθέλοντες ἱκάνομεν. ἐσσύμενος δὲ
Ἀνδρέᾳ εἶπε Φίλιππος ὁμόπτολις· ἡδυεπὴς δὲ
Ἀνδρείας ὁμόφοιτος ἐπειγομένοιο Φιλίππου
Χριστῷ μῦθον ἔλεξεν. ἄναξ δ᾽ ἠμείβετο μύθῳ,
Ὥρη νῦν μόγις ἦλθεν ὅτε σχεδὸν ἵσταται ἀκμὴ
Ἀνθρώπου σοφὸς υἱὸς ὅπως ὑψούμενος εἴη.
Μάρτυς ἐτητυμίης ἀμὴν ἀμὴν λόγος ἔστω·
Κόκκος ἐπὴν σίτοιο πεσὼν ὅτι διψάδι γαίῃ,
Μή τι θάνῃ, τότε μοῦνος ἐτώσιος αὐτόθι μίμνει,
Ἄσπορος, ἀχρήϊστος, ἀνήροτος, ἄμμορος ἅρπης·
Ἢν δὲ θάνῃ, ζείδωρον ἀφειδέα καρπὸν ἀέξει.
Ψυχὴν δ᾽ ὃς φιλέει μινυώριον, οὗτος ὀλέσσει,
Τερψινόου μεθέπων ἀπατήλιον ἐλπίδα κόσμου·
Ψυχὴν δ᾽ ὃς στυγέει, πανακήρατον, ἔμπεδον αὐτὴν
Εἰς βιοτὴν αἰῶνος ἀλωφήτοιο φυλάττει.
Ὅστις ἐμοὶ πείθοιτο διάκτορον ἔργον ὑφαίνων,
Τοῦτον ἐμὸς γενέτης ὑψίθρονος οἶδε γεραίρειν·
Ὅστις ὑποδρήσσειεν, ἐμοῖς θεσμοῖσι πεπίστας,
Οὗτος ὁμαρτήσειεν ἐμοὶ καὶ ὁμόστολος ἔσται,
Ὄφρα μένοι μετ᾽ ἐμεῖο διάκτορος ὅπποθι μίμνω·
Νῦν δ᾽ ἐμὸν ἦτορ ἔχω δεδονημένον· ἀλλὰ τί λέξω;

Ψυχὴ



Cuius gratia occurrẽs multus cõfluxit cœtus viator,
Christũ celebrans mortuos ſaluantẽ, filium Dauid.
Inter ſe autem muſſitabant conſultantes Phariſæi,
Nobis quale emolumentum creſcet? copioſus enim
Mundus totus varius poſt vnum vadit,
Et dolus noſter mortifer nihil iuuabit.
Et quidam Græci erant viri, qui tunc plurimi
Diuini aſcenderunt ſpectatores feſti.
De Ieſu autem audientes celebrata ex fama,
Propinquo accedentes dixerunt Philippo,
Chriſtũ videre volentes venimus. concitatus autem
Andreæ dixit Philippus conterraneus: ſuauiloquus autem
Andreas comes impulſi Philippi
Chriſto ſermonem dixit. Rex autem reſpondit ſermone,
Hora nunc tandem venit quum propè inſtet vigor
Hominis ſapiens filius vt exaltetur.
Teſtis veritatis Amen Amen ſermo ſit:
Granum frumenti cadens in ſitibundam terram,
Niſi moriatur, tunc ſolum vanum ibi manet,
Non ſeminatum, inutile, non aratum, expers falcis:
Si verò moriatur, vitalem plurimum fructum auget.
Vitam enim qui diligit temporalem, hic perdet,
Mentem delectantis habens fallacem ſpem mundi:
Animam verò qui odit, immortalem, firmam ipſam
Ad vitam æui indeſinentis cuſtodit.
Qui mihi crediderit miniſtrum opus texens,
Hunc meus pater in alto ſedens nouit honorare:
Qui ſubminiſtrauerit, meis legibus credens,
Hic ſequetur me, & comes erit,
Vt maneat mecum miniſter vbi maneo:
Nunc autem meum cor habeo agitatum: ſed quid dicam?

Ψυχὴ ἐμὴ κλονέει με. πάτερ, φρενοδινέος ὥρης
Ἐκ ταύτης με σάωσον ἀκαμπέος. ἀλλ' ἐπὶ τούτῳ
Ῥιγεδανὴν ἀβίαστος ἑκούσιος ἤλυθον ὥρην·
Υἷα τεὸν κύδηνε. Καὶ οὐρανόθεν πέλε φωνή,
Καί σε πάρος κύδηνα, καὶ ἔμπαλιν ἄρτι γεραίρω.
Καὶ πολὺς ἔνθα καὶ ἔνθα παριστάμενος καὶ ἀκούων
Αἰθερίην θρομεροῖσιν ἐν οὔασι λαίλαπα φωνῆς
Λαὸς ἐπεσμαράγησεν, ὅτι ζαθέων ἀπὸ κόλπων
Βρονταίη βαρύδουπος ἐπέκτυπεν αἴθριος ἠχώ.
Ἄλλοι δ' ἀντιάχησαν, ὅτι σχεδὸν ἄγγελος αὐτῷ
Οὐρανίης ὀάριζε σοφῷ μυκήματι φωνῆς.
Ἰησοῦς δ' ἀγόρευεν ὅλῳ πολυθαμβέϊ λαῷ,
Οὐ δι' ἐμὲ κτύπος οὗτος ἀράσσεται· οὐρανόθεν δὲ
Ἀντίτυπος βροντῇσι δι' ὑμέας ἵκετο φωνή.
Νῦν ζαθέου κόσμοιο πέλει κρίσις· ἄρτι καὶ αὐτὸς
Ἀρχὸς ἀλιτρονόοιο διώκεται ἔκτοθι κόσμου.
Καί κεν ἐπὴν ὑψωθῶ ἀπὸ χθονὸς εὐρυοδείης,
Ὑμέας εἰς ἐμὲ πάντας ἐς οὐρανὸν εὐρὺν ἐρύσσω.
Ἔννεπε, σημαίνων ποίῳ ζωαρκέϊ πότμῳ
Ἰησοῦς ἤμελλε θανεῖν λαοσσόος. αὐτῷ
Λαοὶ δ' ἀντιάχησαν ὁμογλώσσῳ τινὶ μύθῳ,
Ἐκλύομεν γραφικοῖσι χαράγμασι πολλάκις ἡμεῖς,
Χριστὸς ὅλων μεδέων αἰώνιος οὕνεκα μίμνει·
Καὶ πόθεν ἄμμιν ἔειπες ἀσημάντῳ σέο μύθῳ,
Ἐκ χθονίων λαγόνων ὑψούμενος ἐς πόλον ἐλθών,
Ὑμέας εἰς ἐμὲ πάντας ἀπὸ χθονὸς αὐτὸς ἐρύσσω,
Ἀνθρώπου κλυτὸς υἱὸς ἐπὴν ὑψούμενος εἴη;
Εἰπὲ δέ, τίς πέλεν οὗτος ὃν ἀγνώστῳ τινὶ θεσμῷ
Ἀνθρώπου σοφὸν υἷα τεῇ μυθήσαο φωνῇ;





Anima mea turbat me. pater, mentem agitante horâ
Ex hac me salua immutabili. sed ad hoc
Horridam non coactus volens veni in horam:
Filium tuum glorifica. Et cœlitus facta est vox,
Et te antè glorificaui, & vicissim nunc honoro.
Et multus hinc & hinc astans & audiens
Cœlestem tremulis in auribus procellam vocis
Populus instrepebat, quòd diuinis è finibus
Tonitrualis grauiter sonãs strepitum edidit æthereus sonus.
Alii autem contrà sonuerunt, quòd propè angelus cum ipso
Cœlestis loquutus est sapienti mugitu vocis.
Iesus autem dixit toti admiranti populo,
Non propter me strepitus hic pulsat: cœlitus autem
Similis tonitruo propter vos venit vox.
Nunc diuini mundi est iudicium: modò & ipse
Princeps peccante expellitur ex mundo.
Et quidem postquam exaltatus fuero à terra latè patente,
Vos ad me omnes in cœlum amplum traham.
Dixit, significans quali viuifica morte
Iesus esset moriturus populos seruans. ipsi
Populus autem contrà sonuit concordi quodam sermone,
Audiuimus ex scriptis signis sæpius nos
Christus omnium rector æternus quòd maneat:
Et vnde nobis dixisti obscuro tuo sermone,
Ex terrestribus cauitatibus exaltatus in cœlum veniens,
Vos ad me omnes à terra ipse traham,
Hominis inclytus filius postquam exaltatus fuerit?
Dic verò, quis est ille quem ignota quadam lege
Hominis sapientem filium tua dixisti voce?

Ἰησοῦς δ' ἅμα πᾶσιν ἀνίαχε, Βαιὸν ἐν ὑμῖν
Ἔσσεται εἰσέτι μοῦνον ἐπὶ χρόνον αἰθέριον φῶς.
Ἀπλανέες δ' ἐνὶ φωτὶ δι' ἰθυπόροιο κελεύθου
Στείχετε θαρσήεντες, ἕως φάος εἰσέτι λάμπει,
Πρὶν ζοφερῇ στροφάλιγγι κιχήμεναι ὑμέας ὄρφνην.
Ὃς γὰρ διαστείχει σφαλερῷ ποδὶ νυκτὸς ὁδίτης,
Πλάζεται ἀγνώσσων σκολιὴν ὁδὸν ὁππόθι βαίνει.
Ἄχρι φάος δέρκεσθε, σοφῷ πιστεύετε μύθῳ
Εἰς φάος, ὄφρα γένοισθε φαεσφόροι υἱέες αἴγλης.
Ζωοδότης γόνος ἀνθρώπου τάδε πάντα βοήσας
Κεύθετ', Ἰουδαίων χορὸν ἀγκυλόμητιν ἐάσας.
Τόσσα δέ οἱ τελέσαντι πολύτροπα φάρμακα νούσων,
Αὐτῶν δερκομένων ἀντώπιον, ἐκτὸς ἀκουῆς,
Οὔτις ἀνὴρ πίστευεν· ὅπως πληρούμενον εἴη
Ἡσαΐας τόπερ εἶπε, χέων προφητόθροον ὀμφήν,
Κοίρανε, τίς μετὰ τόσσα τεῇ πίστευσεν ἀκουῇ
Ἢ τίνι παγγενέταο θεοῦ γυμνοῦτο βραχίων;
Οὗ χάριν οὐκ ἐδύναντο θεουδέα πίστιν ἀέξειν,
Ὅττι καὶ Ἡσαΐας πάλιν ἔννεπε θέσπιδι φωνῇ,
Ὀφθαλμοὺς ἀλάωσεν ἐμῶν ἐπιμάρτυρας ἔργων,
Καὶ νόον ἰθυκέλευθον ἐθήκατο τυφλὸν ἀλήτην,
Μὴ κραδίῃ νοέωσι, καὶ ἀθρήσωσιν ὀπωπαῖς,
Καί μοι ὑποστρέψωσι· νοοβλαβέας δὲ σαώσω
Ἄνδρας ἀλιτραίνοντας ἐμῷ παιήονι μύθῳ,
Ἰητὴρ ἀσίδηρος ἐχέφρονα φάρμακα πάσσων.
Ἡσαΐας τάδε πάντα κατέγραφε θέσπιδι φωνῇ,
Ὅττι θεοῦ Χριστοῖο προώριον ἔδρακε τιμήν,
Ὀφθαλμῷ κραδίης πανδερκέϊ, καὶ χάριν αὐτοῦ
Ἐσσομένην προκέλευθον ἐθέσπισεν ἔνθεον ὀμφήν.

Ἔμπης



Iesus autem simùl omnibus respondit, Pusillum inter vos
Erit adhuc solùm per tempus cœleste lumen.
Non errantes autem in lumine per rectam viam
Incedite confidentes, donec lumen adhuc lucet,
Priusquam caliginoso turbine deprehendat vos obscuritas.
Qui enim incedit errante pede noctu viator,
Aberrat ignorans curuam viam quò vadat.
Donec lucem videtis, sapienti credite verbo
Lucis, vt sitis luciferi filii splendoris.
Vitæ dator filius hominis hæc omnia clamans
Abscondit se, Iudæorum cœtum versutum relinquẽs.
Tot autem ei perficienti varia remedia morborum,
Ipsis videntibus coràm extra famam
Nullus vir credidit, vt impleretur
Esaias quod dixit, fundens propheticam vocem,
Domine, quis post tanta tuo credidit auditui?
Vel cui omnium genitoris Dei nudatum est brachium?
Propter quod nõ potuerunt religiosam fidẽ augere:
Quia & Esaias rursus dixit prophetica voce,
Oculos obcæcauit meorum testes operum,
Et mentem rectigradam fecit cæcam errabundam:
Ne corde intelligant, & videant oculis,
Et ad me conuertantur, mente autem læsos seruem
Viros peccantes meo sanante verbo,
Medicus sine ferro conuenientia medicamenta inspergens.
Esaias hæc omnia conscripsit fatidica voce,
Quia Dei Christi tempus præoccupantem vidit gloriam,
Oculo cordis omnia vidente, & propter ipsum
Futurã præcurrentẽ vaticinatus est diuinam vocem.

Tamen

Ἔμπης ἀπλανέες τινὲς ἀνέρες ἴδμονι σιγῇ
Ἀρχοὶ Ἰουδαίων ὑψαύχενος ὄμματα βουλῆς,
Παιδὶ θεοῦ πείθοντο θεηγενέων χάριν ἔργων·
Ἀλλὰ φόβον καὶ ζῆλον ἀλυσκάζων Φαρισαίων
Ἀμφαδὸν οὔτις ἔφηνεν ἑὸν νόον. αἰδομένου δὲ
Ἐνδόμυχος τότε πίστις ὑπὸ φρένα φωτὸς ἑκάστου,
Ἀπροϊδὴς, ἀβόητος ἐκεύθετο φαλάδι σιγῇ.
Πᾶς γὰρ ἀνὴρ προβέβουλε χαμαιγενέων χάριν ἀνδρῶν
Ἢ μεγάλου μούνοιο θεοῦ πολυφεγγέα τιμήν.
Ἰησοῦς δ᾽ ἰάχησε θυώδεος ἔνδοθι νηοῦ,
Ὅστις ἐμῶν δέξοιτο θεοφραδέων στίχα μύθων,
Εἰς ἐμὲ πιστεύων, οὐ πείθεται, ἀλλὰ τοκῆϊ
Ὅστις ἐμὲ προέηκε· καὶ ἀνδρομέησιν ὀπωπαῖς
Πᾶς ἐμὲ παπταίνων, καὶ ἐμὸν γενετῆρα δοκεύει.
Οὐρανόθεν φάος ἦλθον ἐγὼ λιποφεγγέϊ κόσμῳ·
Οὐρανόθεν φάος ἦλθον, ἵνα βροτὸς ὅς με γεραίρῃ,
Πίστιν ἔχων ἀτίνακτον, ἐν ἀχλύϊ μήποτε μίμνῃ.
Ὅστις ἐμῶν δέξοιτο θεόσσυτα χεύματα μύθων,
Καὶ μὴ ἀσυλήτοιο νόου σφρηγῖδα φυλάξῃ,
Οὐ κρίνω ποτὲ τοῦτον ἐγὼ βροτόν. οὐ γὰρ ἱκάνω
Κόσμον ἵνα κρίνοιμι πολύπλανον, ἀλλὰ σαῶσαι. ]
Ὅς με παραγράψαιτο καὶ ἡμετέρης θρασὺς ἀνὴρ
Ἔμπνοα μὴ δέξαιτο βιοσσόα χεύματα φωνῆς,
Οὗτος ἔχει κρίνοντα δικασπόλον. ἡμέτερος γὰρ
Ὃν λαλέω λόγος ἐστὶν ἀπειθέα τοῦτον ἐλέγξει
Κρίνων, ὀψιτέλεστος ὅτε δρόμος ἔσχατος ἠοῦς,

Ἐγρομέ-



Tamen firmi quidam viri ſcienti ſilentio
Principatus Iudæorum, ſuperbi oculi conſilii,
Filio Dei crediderunt diuina propter opera:
Sed metum & zelum vitans Phariſæorum,
Apertè nullus manifeſtauit ſuam mentem: reuerentis autem
Intus latens tunc fides ſub præcordiis viri cuiuſlibet,
Improuiſa, tacita occultabatur condito ſilentio.
Omnis enim vir præoptauit humigenitorum gratiam virorum,
Quàm magni ſolius Dei multum ſplendentem honorem.
Ieſus autem ſonuit odorato in templo,
Qui meorum receperit diuiniloquorum ordines verborum,
In me credens, non confidit, ſed patri
Qui me præmiſit. & humanis oculis
Omnis me videns, & meum patrem videt.
Cœlitus lux veni ego caliginoſo mundo,
Cœlitus lux veni, vt homo qui me honorauerit,
Fidem habens immotam, in caligine nunquam maneat.
Quicunque meorum ſuſceperit à Deo impulſos fluxus ſermonum,
Et inuiolatæ mentis ſigillum ſeruauerit,
Non iudico vnquam hunc ego hominem. non enim venio
Mundum vt iudicem multum errantem, ſed ſaluare.
Qui me reiecerit, & noſtræ audax vir
Viuos non receperit vitam ſeruantes fluxus vocis,
Hic habet iudicantem iudicem. noſter enim
Quem loquor ſermo hic incredulum hunc redarguet
Iudicans, ſerò perfectus quando curſus vltimus aurorae,

Excitatis

Ἐγρομένοις ὅτε πᾶσι πέλει κρίσις. ἐξ ἰδίων
γὰρ
Οὐ μάθον αὐτοκέλευστος ἐγώ ποτε μῦθον ἐ-
νίψαι,
Ἀλλὰ θεοῦ ζείδωρον ἔχω παρὰ πατρὸς ἐφετμήν,
Ἀνδράσιν ἀγρομένοις τί φθέγξομαι, ἢ τί βοήσω.
Οἶδα δὲ παμμεδέοντος ἐφημοσύνην γενετῆρος,
Ζωὴν ἀθανάτην, τὴν ἔλλαχε σύνδρομος
αἰὼν
Ἀενάῳ στροφάλιγγι· καὶ ὑμέας ὅσσα διδάσκω,
Ὥσπερ ἐμοὶ κατέλεξε πατὴρ ἐμός, ὣς ἀγορεύω.
Καὶ ναέταις πρὶν Πάσχα μολεῖν, πρὶν Κεφ. ιγ.
βωμὸν ἀνάψαι,
Ἰησοῦς νοέων ὅτι καίριος ἤλυθεν ὥρη
Ὄφρα κεν ἐκ κόσμοιο μετάτροπος αἰθέρα δύνων,
Νόστιμος ὑψιμέδοντι συναστράψειε τοκῆϊ,
Πάντας ἀεὶ παρεόντας ἑοὺς ἑτάρους ἀγαπήσας
Ἐξ ἀρχῆς, ἀγάπαζε καὶ εἰς τέλος. ἑσπερίου δὲ
Δείπνου γινομένοιο φιλοστόργοιο τραπέζης,
Δούλιον ἔργον ἔτευξεν ἑοῖς ἑτάροισιν ὑφαίνων·
(Δαίμονος ἀντιπάλοιο φιλοκτεάνῳ τινὶ κέντρῳ
Ἀνδρομέην ὅτε λύσσαν ἐνοιστρήσαντος Ἰούδα,
Τολμήεις ἵνα κεῖνος Ἰουδαίοισι προδοίη
Χριστὸν, ἑὸν θρεπτῆρα, δεδεγμένος ὦνον ὀλέθρου)
Αὐτὸς ἑῇ κραδίῃ δεδαημένος ὅτι παρ' αὐτοῦ
Ὑψιμέδων ἅμα πάντα θεὸς πόρε χειρὶ νο-
μεύειν,
Ὅττι καὶ οὐρανόθεν καὶ ἐς αἰθέρα δίζυγι θεσμῷ
Καὶ θεόθεν πάρος ἦλθε, καὶ εἰς θεὸν αὖτις ἱκάνει.
Καὶ τότε δαιτυμόνεσσι διάκτορον ἔργον ὑφαίνων
Ἰησοῦς, ταχυεργὸς ἀνίστατο δεῖπνον ἐάσας,
Καὶ χροὸς ἀγλήεντος ἑοὺς ἀπέθηκε χιτῶνας,
Καὶ λινέῃ λαγόνεσσι νόθην ἐζώσατο μίτρην·
Σφίγξας σκληρὸν ὕφασμα, τό περ φάτο θυμβεὰς αὐδὴ
Λίντιον,



Excitatis quando omnibus est iudicium. ex propriis
enim
Non didici sponte iussus ego vnquam sermonem pro-
loqui,
Sed Deo vitale habeo à patre mandatum,
Viris congregatis quid loquar, aut quid clamem.
Noui autem omnia regentis mandata patris,
Vitam [esse] æternam, quam sortitum est concurrens
seculum
AEterna cum vertigine: & vos quæcunque doceo,
Sicut mihi commemorauit pater meus, sic dico.
Et ciuibus priusquam Pascha ve- Cap. XIII.
niret, priusquam aræ accenderentur,
Iesus cognoscens quòd opportuna venisset hora,
Vt ex mundo reuersus, cœlum subiens,
Redux altiregente pariter coruscaret cum patre,
Omnes semper præsentes suos socios diligens
Ab initio, sic dilexit & ad finem. vespertina autem
Cœna facta beneuolæ mensæ,
Seruile opus fecit suis sociis texens:
(Dæmone aduersario, auaro quodam stimulo
Humanam ad rabiem incitante Iudam,
Audax vt ille Iudæis proderet
Christum, suum nutritorem, accipiens pretiū exitii)
Ipse suo corde sciens quòd illius
Altiregens simul omnia Deus dedisset manu distri-
buere,
Quòd & è cœlis & in cœlum duplici lege
Et à Deo priùs venisset, & ad Deum reuerteretur.
Et tunc conuiuis seruile opus texens
Iesus, opere promptus surrexit cœnam relinquens,
Et corpore à splendido suas deposuit tunicas,
Et lineam circa lumbos spuriam cinxit fasciam:
Stringens duram telam, quam dixit sepulcralis vox
Linteum,

Λίντιον, ἰκμαλέοιο ποδὸς ἀλκτήριον ἀνδρῶν,
Καὶ γλαφυρῷ νιπτῆρι βαλὼν ὑποκόλπιον ὕδωρ
Χριστὸς, ἑῶν ἑτάρων φιλίους πόδας ἤρξατο νίπτειν,
Λοίσθιον ἐκ πρώτου μετανειόμενος ἄλλον ἀπ' ἄλλου,
Ἀρχόμενος Σίμωνος, ἕως ἰδίοιο φονῆος.
Πρεσβυτέρῳ δὲ Σίμωνι παρίστατο, καὶ πόδας αὐτοῦ
Ἀμφοτέρους κρατέεσκε· ταχὺς δ' ἀντέσπασε Σίμων,
Ἰησοῦν δ' ἀνέκοψε, φίλον σέβας ὄμμασι φαίνων.
Καί μιν ἐρητύων βλοσυρῇ μειλίξατο φωνῇ,
Ὑμετέρου θεράποντος ἄναξ πάντεσσι κελεύων
Νίπτεις σαῖς παλάμῃσιν ἐμοὺς πόδας; Ἡδυεπὴς δὲ
Ἑζομένῳ Σίμωνι θεηγόρος εἶπεν Ἰησοῦς,
Ἄρτι μὲν ὡς τελέω δρηστήριον ἔργον ὑφαίνων,
Οὐ δύνασαι νοέειν, μετέπειτα δὲ τοῦτο νοήσῃς.
Καί οἱ Πέτρος ἔλεξε, χέων ἡδεῖαν ἀπειλήν,
Οὔποτε φαιδρύνειας ἐμοὺς πόδας, εἰς ὅσον ἕρπει
Αἰὼν πουλυέλικτος. Ἄναξ δ' ἠμείβετο μύθῳ,
Οὔποτέ σοι μετ' ἐμεῖο μέρος πεφυλαγμένον ἔσται,
Εἰ μὴ ἐγὼ νίψω σε, χέων μεταχείριον ὕδωρ.
Καί οἱ μῦθον ἔλεξε νόῳ πειθήμονι Σίμων,
Ναὶ λίτομαι, μὴ μοῦνον ἐμοὺς πόδας, ἀμφοτέρας δὲ
Νίψον ἄναξ καὶ χεῖρας ἐμὰς, καὶ κυκλάδα κόρσην·
Καὶ πάλιν, ἢν ἐθέλῃς, καὶ ὅλον δέμας. Εἶπεν Ἰησοῦς,
Οὐ χατέει νεαροῖο λελουμένος ὕδατος ἀνὴρ,
Εἰ μὴ μοῦνα πόδεσσι καθάρσια νίπτρα πορείης
Εἰνοδίης. καθαρὸν γὰρ ὅλον δέμας· ἀνδρομέης δὲ
Ἄμμοροι ἀμπλακίης καθαροὶ νόον ἐστὲ καὶ αὐτοί·
Ἀλλ' οὔπως ἅμα πάντες. ἐπεὶ πάρος ᾔδεε θυμῷ
Τίς μιν ἀνὴρ ἤμελλεν Ἰουδαίοις παραδώσειν





Linteum, humidi pedis autem subsidium virorum,
Et concauum in pollubrum fundens subterraneam aquam
Christus, suorum sociorum charos pedes incepit lauare,
Ad vltimum à primo transiens ad alium ab alio,
Incipiens à Simone, vsque ad suum homicidam.
Seniori autem Simoni astetit, & pedes eius
Vtrosque arripuit. celer autem retraxit Simon,
Iesúmque inhibuit, charam venerationem oculis monstrans:
Et ipsum detinens forti demulsit voce,
Tui ministri Rex omnibus imperans
Lauas tuis manibus meos pedes? Suauiloquus verò
Sedenti Simoni diuiniloquus dixit Iesus,
Iam quidem quod perficio seruile opus texens,
Non potes intelligere, deinceps autem hoc scies.
Et ei Petrus dixit, fundens suaues minas,
Nunquam expurgabis meos pedes, donec repit
AEuum multum volutum. Rex autem respondit sermone,
Nunquam tibi mecum pars custodita erit,
Nisi ego lauē te, fundens administratoriam aquam.
Et ei verbum dixit mente credula Simon,
Ita precor, non solùm meos pedes, vtrasque verùm
Laua Rex & manus meas, & circulare caput,
Et rursus, si volueris, & totum corpus. Dixit Iesus,
Non indiget noua lotus aqua vir,
Nisi solùm pedibus puro lauacro pro itinere
Compitali. purum enim totum corpus: humani autem
Expertes errati, puri mente estis & ipsi:
Sed non simul omnes. quia antea sciebat animo
Quis illum vir esset Iudæis proditurus

Ὤνιον ἀντιβίοισι· τίς ἔμπορος ἦεν ὀλέθρου,
Οὗ χάριν ἀγχιθέοισιν ἄναξ ἀγόρευε μαθηταῖς,
Ἄμμορον ἀμπλακίης καθαρὸν νόον ἴστε καὶ αὐτοί,
Ἀλλ' οὔπως ἅμα πάντες. ὑποδρηστῆρι δὲ θεσμῷ
Ὁππότε δαιτυμόνων δυοκαίδεκα κύκλον ἀμείβων,
Νίψεν ἑῶν ἑτάρων ὁσίους πόδας ἁγνὸς Ἰησοῦς
Κεκλιμένους, παλίνορσος ἑοὺς ἔνδυνε χιτῶνας·
Καὶ παλάμης ἀγκῶνα παλινδίνητον ἐρείσας
Ἀκρότατον περὶ κύκλον ὁμοστόργοιο τραπέζης,
Εἶπεν ἑοῖς ἑτάροις, Γινώσκετε τοῦτο καὶ αὐτοὶ
Ὑμῖν οἷον ἔρεξα, διάκτορον ἔργον ὑφαίνων;
Ὑμεῖς διχθαδίῳ με σοφῷ κικλήσκετε μύθῳ
Κοίρανον, ὑμείων τε διδάσκαλον· ἀπλανέες δὲ
Τοῦτο καλῶς φθέγγεσθε δαήμονες. εἰμὶ γὰρ ἄμφω
Ὡς ἐμὲ μυθίζεσθε. φιλοστόργῳ δὲ μενοινῇ
Εἰ πόδας ὑμείων καθαρῷ φαίδρυνα λοετρῷ,
Ἡγήτωρ καὶ ἄναξ περιδέξιος· ἀλλὰ καὶ αὐτοὺς
Ἀντίτυπον θέμις ἐστὶν ἐμὸν μίμημα μαθόντας
Ὑμέας ἀλλήλων φιλίους πόδας ὕδατι νίπτειν.
Δεῖγμα γὰρ ἔπλετο τοῦτο διδάσκαλον, ὄφρα καὶ ὑμεῖς
Ἔργον ὅπερ ποίησα σοφὸν τελέσητε καὶ αὐτοὶ
Πάντες ἐν ἀλλήλοισιν ἀμοιβαίῳ τινὶ θεσμῷ,
Ἰσοφυὲς μίμημα δαήμονος ἡγεμονῆος.
Οὐ πέλε λάτρις ἄνακτος ὑπέρτερος· οὐδέ τις ἀνὴρ
Ἡγεμόνος πέμψαντος ἀπόστολος ἐστὶν ἀρείων.
Εἰ δὲ λόγῳ τάδε πάντα νοήσατε, καὶ νόος
ἔργῳ
Ἤρισε, καί περ ἔφυτε μακάρτεροι. οὐ περὶ πάντων
Εἴνεπον ὑμείων ἑτέρου καθαροῖο λοετροῦ
Δευομένων, ὁ δὲ μῦθος ἑνὸς χάριν. οἶδα καὶ αὐτὸς
Οἵους πιστοτάτους καὶ ἀμεμφέας ἄνδρας ἐδέγμην.
Ἀλλ' ἵνα φορμίζουσα τόπερ φάτο θέσπις ἀοιδή,
Χρυσομανὴς ἄστοργος ἀνήρ, ἐμὸν ἄρτον ἐρέπτων,
Πτέρναν κερδαλέην ἐμέθεν καθύπερθεν ἀείρας,
Ἡμετέρη



Venalem hostibus: quis negotiator esset exitii,
Propter quod Deo propinquis Rex dixit discipulis,
Expertem errati purum animum scitis & ipsi,
Sed non simul omnes. seruili autem lege
Quando conuiuarum duodecim circulum peruadens
Lauit suorum sociorum puros pedes sanctus Iesus
Recumbentes, reciprocus suam induit tunicam:
Et manus cubitum volutum firmans
Summum circa ambitum concordis in amore mensæ,
Dixit suis sociis, Cognoscitis hoc & ipsi
Vobis quid fecerim, seruile opus texens?
Vos duplici me sapienti vocatis verbo
Dominum, & vestrum magistrum: non errantes autem
Hoc bene dicitis prudentes. sum enim vtrunque
Vt me vocatis. beneuolo autem animo
Si pedes vestros puro expurgaui lauacro,
Dux & rex sapiens: sed & ipsos
Ad expressam fas est meam imitationem discentes
Vos, inuicem charos pedes aqua lauare.
Exemplum enim erat hoc docens, vt & vos
Opus quod feci sapiens faciatis & ipsi
Omnes inuicem mutua quadam lege,
Compar exemplum periti ducis.
Non est minister rege superior, neque aliquis vir
Duce mittente legatus est melior.
Si verò ratione hæc omnia intellexistis, & mens cum
opere
Certauerit, vtique estis beatiores. non de omnibus
Dixi vobis alio puro lauacro
Egentibus, sed sermo vnius gratia est. noui & ipse
Quales fidelissimos & irreprehensibiles viros elege-
Sed vt modulatrix quod dixit diuina cantio, [rim:
Auro insaniens inimicis vir meum panē comedens,
Calcaneum fraudulentum contra me attollens,

Ἡμετέρῃ σύνδορπος ἐπεσκίρτησε τραπέζῃ,
Γλώσσῃ προθαμβῆ. τόπερ ἔσεται ἄρτι βοήσω,
Ὄφρα μιν ἦν τελέσειεν ἕλιξ χρόνος ἐγγύθεν ἕρπων,
Μῦθον ἀναμνήσαιθε παλαίφατον, ὅττι περ ὑμῖν
Ἐσσόμενον θέσπιζεν ἐμὴ προτόθροος ὀμφή.
Μάρτυρες ἐμπεδόμυθος ἀμὴν ἀμὴν λόγος ἔστω,
Ὅστις ἐμὸν δέξοιτο διάκτορον ὅντινα πέμ-
ψω,
Ἵλαον ὄμμα φέρων, ἐμὲ δέχνυται· ὃς δὲ καὶ αὐτὸν
Πεμπόμενον θεόθεν με λαβὼν προσπτύσσεται ἀνήρ,
Δέχνυται αὐτογένεθλον ἐμὸν πέμψαντα τοκῆα.
Εἶπεν ἄναξ ἑτάροισι· καὶ ὀμφῆεν στόμα λύσας,
Πνεύματος οὐρανίου δεδονημένος ἔμφρονι παλμῷ
Χριστὸς ἀσιγήτοιο νόου κυμαίνετο πυρσῷ.
Μαρτυρίην δ' ἰδίην προφέρων ἠρεύγετο φω-
νήν,
Εἷς βροτὸς ὑμείων με φίλον ἑτάρων παραδώσει·
Εἷς φίλος ἀλλοπρόσαλλος ὁμωρόφιός με δαμάσσει.
Ἰησοῦς μὲν ἔειπεν. ὁμόζυγες δὲ μαθηταὶ
Ἀλλήλους σκοπίαζον ἀμειδέϊ πάντες ὀπωπῇ,
Ξυνῇ ἀμήχανα ἐόντες· ἐμαστίζοντο δὲ σιγῇ
Ἀμφὶ τίνος κατέλεξεν. ἀνὴρ δέ τις ὃς παρὰ κόλπον
Ἀγχιφανὴς ἀνέκειτο φιλοστόργου βασιλῆος,
Τούτῳ Πέτρος ἔνευσε· λάλῳ δ' ἐρέεινε σιω-
πῇ.
Τίς πέλεν οὗ χάριν εἶπεν· ὁ δὲ θρασὺς ὀξέϊ
παλμῷ
Στήθεσιν ἀχράντοισι πεσὼν πεφιλημένος ἀνὴρ
Δαινυμένου βασιλῆος, ἐπεψιθύριζεν ἀκουῇ,
Τίς πέλεθ'; Καὶ Χριστὸς ἐφώνεεν, ᾧ, χερὶ βάψας
Οἴνοπι ῥα θέμιγι δεδευμένον ἄρτον ὀπάσσω,
Αὐτὸς ἐμὲ προδίδωσι. Καὶ εἰς δέπας ἔμπλεον οἴνου
Βάψας ὕστατον ἄρτον, ἀναιδέϊ δῶκεν Ἰούδᾳ,
Ἄρτον ἑοῦ κήρυκα φιλοκτεάνοιο φονῆος.

Καὶ



Nostræ conuictor petulanter insultauit mensæ,
Lingua præcurrente. quod futurum est iam prædico,
Vt ipsum si perfecerit volubile tempus propè repēs,
Verbum recordemini antiquum, quòd vobis
Futurum vaticinata sit mea prophetica vox.
Testificans firmiloquus Amen Amen sermo sit,
Quicunque meum receperit ministrum quemcunque
misero, [ipsum
Placidum oculum ferens, me suscipit: qui verò & i-
Missum à Deo me recipiens amplectitur vir,
Recipit æternum meum mittentem patrem.
Dixit Rex sociis: & fatidicum os soluens,
Spiritus cœlestis agitatus prudenti vibratione
Christus, non tacentis mentis turbabatur flamma.
Testimonium autem proprium proferens eructauit
vocem,
Vnus homo inter vos charos socios me prodet:
Vnus amicus mutabilis contubernalis me domabit.
Iesus quidem dixit. Coniuncti autem discipuli
Inuicem aspexerunt tristi omnes vultu,
AEqualiter perplexi. affligebantur autem tacitè
De quo dixisset. vir autem quidā, qui iuxta sinum
Vicinus recumbebat beneuoli regis,
Huic Petrus innuit: loquente autem interrogauit si-
lentio
Quis esset cuius gratia dixisset. ille verò audax acuta
vibratione
Pectori impolluto incumbens dilectus vir
Conuiuantis Regis, insusurrauit auribus,
Quis est? Et Christus dixit, Cui manu intingens
Nigro liquore madefactum panem præbuero,
Ipse me prodit. Et in poculum plenum vino
Intingens extremum panis, impudenti dedit Iudæ,
Panem sui præconem auari homicidæ.

Καὶ μετὰ θέσκελον ἄρτον ὑποσπείρων πόθον
ὄλβου

Πομπὸς ἀλιτροσύνης, ὅλον ἀνέρα δύσατο δαίμων.
Καί οἱ Χριστὸς ἔλεξε, δαήμονι νεύματα πέμπων,
Ἔρξον ὅπερ τελέεις ταχινώτερον. οὐδέ τις ἔγνω
Δαιτυμόνων, ἄιδηλον ἐν οὔασι μῦθον ἀκούων.
Ὅττι τινὲς δοκέεσκον ἀσημάντῳ τινὶ μύθῳ,
Δουρατέην ὅτι χηλὸν ἀνήερταζεν Ἰούδας,
Μή οἱ κοίρανος εἶπεν ἑῷ σημάντορι μύθῳ
Ὄφρα κεν ἀρτύνειεν ὅσων χρέος εἶχεν ἑορτή,
Ἢ ἵνα τι πτωχοῖσι βιοπλανέεσσιν ὀπάσσῃ.
Καὶ μεθύων, μετὰ δόρπον ἀνὴρ φιλοκερδέϊ λύσσῃ
Ἔνθεον ἄρτον ἔχων, ἀνεχάζετο νυκτὸς ὁδίτης.
Ἀλλ' ὅτε νόσφι βέβηκε δυωδεκάριθμος Ἰούδας,
Ἕνδεκα δαιτυμόνεσσι θεηγόρος εἶπεν Ἰησοῦς,
Νῦν πάϊς ἀνθρώπου φαεσιμβροτον ἔλλαχε
τιμήν,

Καὶ θεὸς αὐτογένεθλος ἐδέξατο κῦδος ἐν αὐτῷ.
Εἰ δὲ θεὸς γενέτης ὑψούμενός ἐστι δι' αὐτοῦ,
Καὶ θεὸς ὑψώσειε πατὴρ υἷα γεραίρων.
Τέκνα, μεθ' ὑμείων ὀλίγον χρόνον εἰσέτι μίμνω,
Καὶ λόγον Ἑβραίοισιν ὃν ἔννεπον, αὖτι καὶ ὑμῖν
Φθέγγομαι ἡμετέρῃ παλινάγρετον ἠθάδι φωνῇ,
Πολλά με μαστεύσοιτε παλίνδρομον ὀψὲ νέεσθαι,
Ὑμέας δ' οὐ θέμις ἐστὶ συνήλυδας ὅπποθι βαίνω,
Ἡμετέρης ἀκίχητον ἔχειν δρόμον ἀτραπιτοῖο.
Ὁπλοτέρην ἐν ἅπασιν ἐφημοσύνην ἐπιτέλλω,
Ὑμέας ὡς ἀγάπαζον ἴσῳ καὶ ἀμεμφέϊ θεσμῷ,
Ἀλλήλων φιλίην ὁσίῳ σφρηγίσατε θεσμῷ,
Ἀρθμὸν ὁμοφροσύνης ἀλύτῳ δήσαντες ὀχῆϊ.
Ὑμέας εἰν ἑνὶ πάντες ἵνα γνώωσιν ἰδόντες
Ἀλλήλους φιλέοντας, ὅτι ζαθέῳ τινὶ θυμῷ
Παμφαέος Χριστοῖο θεουδέες ἐστὲ μαθηταί.
Χριστοῦ δ' ὡς κλύε μῦθον ἑκὰς μέλλοντι ὁδεύειν,

Μετ' ἴχνεσι



Et post diuinum panem occultè seminans desiderium
opum

Dux iniquitatis, in totum virum subiit dæmon.
Et ei Christus dixit, scienti nutus emittens,
Fac quod facis citius. neque aliquis intellexit
Conuiuarum, incertum auribus sermonem audiens.
Nam quidam putabant obscuro quodam sermone,
Ligneam quia arcam portabat Iudas,
Quòd ei Christus dixisset suo significante sermone
Vt præpararet ea quibus opus esset ad festum,
Vel vt aliquid pauperibus vagis daret.
Et ebrius post cœnam vir auara rabie
Diuinum panem habens, recessit noctis viator.
Sed quum recessisset duodecimus Iudas,
Vndecim conuiuis diuiniloquus dixit Iesus,
Iam filius hominis hominibus lucentem recepit glo-
riam,

Et Deus æternus recepit gloriam in ipso.
Si verò Deus pater exaltatus est per ipsum,
Et Deus exaltabit pater filium honorans.
Filii, vobiscum paruum tempus adhuc maneo,
Et sermonem Hebræis quem dixi, iam & vobis
Dico, nostra rursus congregatum consueta voce,
Multum me quæretis reuersum serò videre,
Vos verò non licet comites quò vado
Nostræ incomprehensibilem habere cursum viæ.
Recentius omnibus mandatum præcipio,
Vos vt dilexi æquali & irreprehensibili lege,
Inuicem amicitiam sancto vt obsignetis ritu,
Fœdus concordiæ insolubili ligantes loro.
Vos simul cuncti vt cognoscant videntes
Inuicē vos diligentes, quòd diuino quodam animo
Omnia illustrantis Christi religiosi sitis discipuli.
Christi autē quum audiisset sermonē procul ituri,

Μειλιχίοις δ' ὀάροισι φιλήκοος ἔννεπε Σίμων,
Κοίρανε, πῆ σπεύδεις; τίνα μοι τίνα χῶρον ἱκάνεις;
Ἰησοῦς δ' ἀπάμειπτο, καὶ εἰρομένῳ φάτο Πέτρῳ,
Οὐ δύνασαι προθέοντος ὅπῃ ποδὸς ἴχνος ἐπείγω
Ξυνὸς ὀπισθοκέλευθος ἐμὴν ὁδὸν ἄρτι περῆσαι·
Ἀλλὰ παλινδίνητος ὅτε χρόνος ὥριος ἔλθῃ,
Αὐτὸς ὁμαρτήσειας ἐσύστερον. Εἶπε δὲ Σίμων,
Οὐ δύναμαι ταχύγουνος ὀπισθοπόρῳ ποδὶ βαίνων
Ὑμετέρης ἀβάτοιο ταμεῖν κενεῶνα κελεύθου;
Καὶ ψυχὴν ἐθέλουσαν ὑπὲρ σέθεν ἐγγυαλίξω.
Ἰησοῦς δ' ἀδόκητον ἔπος μυθήσατο Πέτρῳ,
Ψυχὴν ὑμετέρην ἐμέθεν χάριν αὐτίκα θήσεις;
Τρεῖς δὲ μόνης δυσπαλεῖ μιῆς ἐνὶ νυκτὸς ἀνάγκῃ
Χριστὸν ἀπαρνήσαιο, πρὶν αὐχένα κυρτὸν ἀεί-
ρας
Ὀξὺ μέλος κλάγξειεν ἐγερσιβόοντες ἀλέκτωρ.
Μὴ νόος ὑμείων δεδονημένος ἄστατος εἴη, Κεφ. ιδ.
Ἀλλὰ θεῷ καὶ ἐμοὶ πιστεύσατε. θεσπεσίην δὲ
Υἱέϊ καὶ γενετῆρι μίαν ξυνώσατε τιμήν.
Πολλαὶ δ' ὑψιμέδοντος ἐμοῦ κατὰ δώματα τοκῆος
Εἰσὶ μοναὶ στοιχηδὸν ὁμόζυγες· εὐρυτενὴς δὲ
Εἰ μὴ πουλυμέλαθρος ἐμὴ πέλε πανδόκος αὐλή,
Ὑμῖν καί κεν ἔειπον ὅτι προκέλευθος ὁδεύσω,
Ὄφρα κεν ἐντύνω πολυχανδέος ἔνδιον αὐλῆς,
Ἄξιον ὑμείων νεοτευχέα χῶρον ὑφαίνων·
Καὶ μετὰ θέσκελον οὖδας ἑτοιμοτάτοιο μελάθρου
Νοστήσω παλίνορσος, ἐς ἄμβροτον οὖδας ἀνέλκων
Ὑμέας, ὄφρα μένητε συνέστιοι ἔνθα περ μίμνω
Ἀθάνατοι ναετῆρες· ἐμὴν ὁδὸν ἴστε καὶ αὐτοί.
Ἔννεπεν. Εἰσαΐων δὲ διώνυμος ἴαχε Θωμᾶς,
Ὃν Δίδυμον γενετῆρες ἐφήμισαν, ἐξότε κούρου
Ὀγδοάτης ἀνέτελλε φιλοτμήτου δρόμος ἠοῦς·
Οὔπω ἄναξ ἐδάημεν ὅπῃ ποδὸς ἴχνος ἐπείγεις,
Μέτρα πόθεν δυνάμεσθα μαθεῖν ἀνίχνευτα κελεύθου;

Ἰησοῦς



Placido ſermone audiendi cupidus dixit Simon,
Domine, quò feſtinas? in quem mihi locum venis?
Ieſus autem reſpondit, & interroganti dixit Petro,
Non potes præcurrētis quò pedis veſtigium impello
Socius pediſſequus meam viam iam tranſire:
Sed reuolubile quando tempus opportunū venerit,
Ipſe ſequêris in poſterum. Dixit verò Simon,
Non poſſum veloci inſequente pede incedens
Veſtræ inacceſſæ ſecare cauitatem viæ?
Etiam animam volentem pro te præbebo.
Ieſus autem inexpectatum verbum dixit Petro,
Animam tuam propter me ſtatim pones?
Ter quidem vnicæ graui in noctis neceſſitate
Chriſtum abnegabis, priuſquam ceruicem curuam
attollens
Acutum cantum clanget ſua voce excitans gallus.
Ne mēs veſtra turbata inſtabilis ſit, Cap. XIIII.
Sed Deo & mihi credite. diuinum verò
Filio & patri vnum communicate honorem.
Multæ altiregentis mei in domo patris
Sunt manſiones ordine compares: ſpatioſa verò
Niſi atrio amplo prædita mea eſſet hoſpitalis aula,
Vobis vtique dixiſſem quòd præcurſor iturus ſim,
Vt præparem percapacis domicilium aulæ,
Dignum vobis nouiter factum locum texens:
Et poſt diuinum ſolum paratiſſimæ domus
Reuertar reciprocus, in æternum ſolum attrahens
Vos, vt maneatis comites vbi maneo
Immortales habitatores: meam viam ſcitis & vos.
Dixit. Audiens verò binominis ſonuit Thomas,
Quem Didymum parentes vocarunt, ex quo pueri
Octauæ oriebatur cupidæ circūciſionis curſus auroræ,
Nondum Rex ſcimus quò pedis veſtigium incitas,
Dimenſionem vnde ſciremus inueſtigabilem viæ?

Ieſus

Ἰησοῦς δ' ἴαχησε, φιλήκοον ἄνδρα διδάσκων,
Ζωὴ, ἀληθείη τε, καὶ ὄρθιος εἰμὶ πορείη·
Ζωὴ ἐγὼ, βιότοιο καὶ ἀτραπός. οὐ δύναται δὲ
Εἰς θεὸν εἰς γενετῆρα μολεῖν γαιήϊος ἀνὴρ,
Εἰ μή τις δι' ἐμεῖο θεόσσυτον ἴχνος ἐπεί-
γει,
Στείχων ὀρθὰ κέλευθα δι' υἱέος εἰς γενετῆρα.
Εἰ δὲ θεορρήτῳ με σοφῷ γινώσκετε μύθῳ,
Ἐξ ἐμέθεν γνώσεσθε καὶ ὑψιμέδοντα τοκῆα.
Ἄρτι δέ μιν φράσασθε, καὶ ὑψιμέδοντα μαθόντες.
Ἰησοῦν δὲ Φίλιππος ἑῷ μειλίξατο μύθῳ,
Ὦ ἄνα, σὸν γενετῆρα τεοῖς ἀνάφαινε μαθηταῖς·
Δείκνυε σὸν γενετῆρα, καὶ ἄρκιον ἄμμι γενέσθω.
Ἰησοῦς δ' ἀγόρευεν, ἀθηήτοιο τοκῆος
Συμφυὲς ἔνθεον εἶδος ἔχων βροτοειδέϊ μορφῇ,
Τηλίκον εἰμὶ Φίλιππε πολὺν χρόνον ἐνθάδε μίμνων
Ξυνόμος ὑμείων, καὶ ἐμὴν οὐκ εἶδες ὀπωπήν;
Πᾶς βροτὸς ὅς με νόησε, καὶ ἄφθιτον εἶδε το-
κῆα.
Οὔπω πίστιν ἔχεις ὅτι σύζυγός εἰμι τοκῆος,
Καὶ γενέτης μεθέπει με μιῇ συναρηρότα μορφῇ;
Καὶ πόθεν αἰτίζεις με μεριζομένῳ τινὶ θεσμῷ,
Δεῖξον ἐμοὶ γενετῆρα; τὸν ἔδρακες εἰς ἐμὲ λεύσσων,
Ἐκ κραδίης ὅτε μῦθον ἐρεύγομαι, εἰς ἐμὲ μίμνων,
Ξυνὸς ἐμοὶ λαλέοντι πατὴρ ἐμὸς ἔργον ὑφαίνει.
Οὔπω μάρτυρα μῦθον ἐπιστώσασθε μερίμνῃ·
Καὶ σὺν ἐμοὶ τελέθει γενέτης ἐμὸς, ὅττι καὶ αὐτῷ
Σύμφυτός εἰμι τοκῆος· ἐγὼ λαλέων, ὁ δὲ ῥέζων.
Εἰ μὴ ἐμοὶ πείθεσθε, σοφοῖς πιστεύσατε μούνοις
Ἔργοις ἡμετέροισιν· ἵνα γνώσησθε καὶ αὐτοὶ
Συζυγίην ἀμέριστον ἑνὶ ζευχθεῖσαν ὀχῆϊ,
Υἱέος ἐν πατρὶ μίμνοντος, ἐν υἱέϊ πατρὸς ἐόντος.
Μάρτυρος ἐμπεδόμυθος ἀμὴν ἀμὴν λόγος ἔστω,
Πᾶς βροτὸς ἡμετέρην ἀστεμφέα πίστιν ἀέξων,

Ἔργα



Ieſus autem ſonuit, audiendi cupidum virum docens;
Vita, & Veritas, & recta ſum Via:
Vita ego, & vitæ Via. non poteſt autem
Ad Deum patrem venire terreſtris vir,
Niſi quis per me à Deo impulſum veſtigium inci-
tauerit,
Peruadens rectam viam per filium ad patrem.
Si verò deiloquo me ſapiente cognouiſſetis ſermone,
Ex me cognoſceretis & altiregentem patrem.
Iam verò ipſum cognouiſtis, & altiregentē edocti.
Ieſum verò Philippus ſuo demulſit verbo,
O Rex, tuum patrem tuis oſtende diſcipulis,
Oſtende tuum parentem, & ſufficiat nobis.
Ieſus autem dixit, Inuiſibilis patris
Cognatam diuinam formam habens humana ſpecie,
Tanto ſum Philippe longo tempore hîc manens
Conſors veſter, & meam non vidiſti faciem?
Omnis homo qui me nouit, etiam æternum vidit
patrem.
Nondum fidem habes quòd compar ſum patris,
Et pater continet me vna conueniente forma?
Et vnde poſtulas à me diuiſa quadam lege,
Monſtra mihi patrem? quem vidiſti me aſpiciens,
Ex corde [meo] quando verbum eructo, In me manēs,
Adiutor mihi loquenti pater meus opus texit,
Nondum teſtificantē ſermonē confirmaſtis mente:
Et mecum eſt pater meus, quia & ipſe
Inſitus ſum patri: ego, loquens, ille verò, faciens.
Si non mihi creditis, ſapientibus credite ſolis
Operibus noſtris: vt cognoſcatis & vos
Societatem indiuiſam vno coniunctam repagulo,
Filii in patre manentis, in filio patris exiſtentis.
Teſtificans firmiloquus Amen Amen ſermo ſit,
Omnis homo noſtram immotam fidem augens,

Opera

Ἔργα τάπερ τελέω, μιμούμενος αὐτὸς ἀνύσσει,
Καὶ τούτων πολὺ μᾶλλον ὑπέρτερα θαύματα ῥέξει,
Ὅττι μολεῖν ἀκίχητος ἐπείγομαι εἰς γενετῆρα.
Ὁππόσα δ' αἰτίζητε παρ' ὑψίστοιο τοκῆος,
Οὔνομα κικλήσκοντες ἐμὸν, ξύμπαντα τελέσσω,
Ὄφρα πατὴρ ἄχραντος ἐν υἱέϊ κύδιμος εἴη.
Εἴ τι κεν αἰτίζητε παρ' ὑψιμέδοντος ἄνακτος,
Οὔνομα κικλήσκοντες ἐμὸν, ξύμπαντα τελέσσω.
Εἰ δέ με πιστοτάτης φιλίης ξυνώσατε θεσμῷ,
Ἡμετέρην πραπίδεσσι φυλάξατε πᾶσαν ἐφετμὴν,
Καὶ θεὸν αἰτήσω γενέτην ἐμὸν, ὄφρα κεν ὑμῖν
Οὐρανόθεν πέμψειε παράκλητον μετανάστην,
Χριστῷ σύγγονον ἄλλον, ὁμοίϊον, ἔμπεδον αἰεὶ,
Ἀτρεκίης ὀχετηγόν· ὅνπερ πολύμορφος ἀείρειν
Οὐ δύναταί ποτε κόσμος· ὅτι βροτὸς οὔποτε λεύσσει
Τηλίκον ἀνδρομέοισιν ἐν ὄμμασιν ἀρχέγονον φῶς,
Πνεῦμα θεοῦ γενετῆρος. ἐσαθρήσητε δὲ μοῦνοι
Ὑμεῖς ἔνθεον εἶδος ἀθηήτοιο προσώπου.
Ὅττι μεθ' ὑμείων μενέει, καὶ ὁμόστολον ἔσται
Ὑμῖν, πάντας ἔχον νοερὸν δόμον. οὐ γὰρ ἐάσω
Ὑμέας οὐρανίης ἰσόζυγος ἐκτὸς ἀρωγῆς
Ὀρφανικούς· ταχινὸς δὲ πρὸς ὑμέας αὖθις ἱκάνω.
Βαιὸς ἔτι χρόνος ἐστὶν, ἐμὴν ὅτε θέσπιδα μορφὴν
Οὐκέτι κόσμος ἄπιστος ἐσόψεται, ἀλλ' ἐμὲ μοῦνοι
Λεύσσετε, καὶ μετὰ γαῖαν ἀεὶ ζώων ὅτι μίμνω,
Καὶ δι' ἐμὲ ξύμπαντες ἀεὶ ζώοιτε καὶ ὑμεῖς.
Ὡς ἐν ἐμῷ γενετῆρι πέλω γνώσεσθ' ἐν ἐκείνῃ,
Ὑμεῖς καὶ σὺν ἐμοὶ, καὶ ἐγὼ ἔθ' ὁμόπλοκος ὑμῖν.
Ὅστις ἔχων πραπίδεσσιν ἐμὰς τελέσειεν ἐφετμὰς,
Οὗτος ἀνὴρ φιλέει με, καὶ εὐαγέως ἀγαπάζων,

Ἔσται



Opera quæ facio, imitans ipſe perficiet,
Et his multo præſtantiora miracula faciet,
Quia venire incomprehenſibilis feſtino ad patrem.
Quæcunque verò petieritis ab altiſſimo patre,
Nomen inuocantes meum, omnia perficiam,
Vt pater purus in filio glorioſus ſit.
Si quid etiam petieritis ab altiregente patre,
Nomen inuocantes meum, omnia perficiam.
Si verò me fideliſſimæ amicitiæ coniunxiſtis lege,
Noſtrum pectoribus ſeruate omne præceptum;
Et Deum precabor patrem meum, vt & vobis
Cœlitus mittat paracletum extraneum,
Chriſto congenitũ alium, ſimilem, firmum ſemper
Veritatis deductorem: quem multiformis accipere
Non poteſt vnquam mundus: quia homo nunquam videbit
Tale humanis oculis primigenium lumen,
Spiritum Dei patris. inſpicietis autem ſoli
Vos diuinam ſpeciem inuiſibilis faciei.
Nam vobiſcum manebit, & comes erit
Vobis, omnes [vos] habens ſpiritualem domum. non ſanè relinquam
Vos cœleſti compare abſque auxilio
Orphanos: celer verò ad vos rurſus venio.
Puſillum adhuc tempus eſt, meam quando diuinam formam
Non amplius mundus incredulus videbit: ſed me ſoli
Videbitis, & poſt terrã ſemper viuens quia maneo,
Et per me omnes viuetis & vos.
Quòd ego in patre ſim cognoſcetis in illo [die]
Vos & mecum, & ego quòd complicatus vobis.
Quicunque habens in pectore mea perfecerit mandata,
Hic vir diligit me, & purè diligens,

Erit

Ἔσται ἐμῷ γενετῆρι θεῷ πεφιλημένος ἀνήρ·
Τοῦτον ὁμοστόργῳ καὶ ἐγὼ προσπτύξομαι ἀρθμῷ,
Καί οἱ θέσκελον εἶδος ἐμοῦ χροὸς αὐτίκα δείξω.
Ἰησοῦ δ' ἀπάμειπτο καὶ ἔννεπεν ἄλλος Ἰούδας
Υἱὸς Ἰακώβοιο, καὶ οὐ θρασὺς Ἰσκαριώτης,
Κοίρανε, πῶς τεὸν εἶδος ὁμοφρονέων ἀναφαίνεις
Μούνοις σοῖς ἑτάροισι, καὶ οὐ θηήτορι κόσμῳ;
Ἰησοῦς δ' ἀγόρευεν, ὁμόφρονα φῶτα διδάσκων,
Ὅστις ἀνὴρ ἐμὲ μᾶλλον ἀοιδιάζων ἀγαπάζει,
Μῦθον ἐμὸν πραπίδεσσιν ἀσυλήτοισι φυλάσσει.
Καὶ σοφὸν ἀνέρα τοῦτον ἐμὸς γενέτης ἀγαπήσει.
Ἄμφω δ' εἰς ἕνα φῶτα πατὴρ καὶ ἔγωγε μολόντες,
Ἔνδιον αὐτοθέμεθλον ἀναστήσομεν ἐν αὐτῷ,
Ἀνδρομέῳ μίμνοντες ἐν αὐδήεντι μελάθρῳ.
Ὃς δέ κε μὴ φιλέῃ με, μάτην ἐμὸν οὗτος ἐάσει
Ληθαίαις ἀκόμιστον ἔπος πεφορημένον αὔραις.
Καὶ λόγος οὐκ ἐμὸς οὗτος ὃν ἔννεπον, ἀλλὰ τοκῆος
Οὐρανόθεν πέμψαντος ἐμὲ χραισμήτορα κόσμου.
Ὑμείων δ' ὁμόφοιτος ἐπὶ χθονὸς εἰσέτι μίμνων
Εἶπον ἐγὼ τάδε πάντα· παράκλητος δ' ὅταν ἔλθῃ,
Ὑμέας ἰθυντῆρι λόγῳ ξύμπαντα διδάξει·
Αὐτὸς ἀναμνήσει πάλιν ὑμέας ὅσσα παρ' ὑμῖν
Ἔννεπον. εἰρήνην δὲ βιοσσόον ὔμμιν ἐάσω·
Εἰρήνην ἀτίνακτον ἐμὴν ὁμόφοιτον ὀπάσσω.
Οὐχ ὡς ὔμμι δίδωσιν ἐθήμονα κόσμος ἀλήτης,
Οὕτω ξυνὸν ἔχειν καὶ ἐγὼ γέρας ἐγγυαλίξω.
Μὴ κλόνος ὑμετέρην κραδίην, μὴ τάρβος ὀρίνῃ.
Νῦν ἐμέθεν βοόωντος ἐμῆς ἀκούσατε φωνῆς,
Ὅττι παλινδίνητος ἐμῷ καλέοντι τοκῆϊ,
Εἰς πόλον ὑψιμέλαθρον ἐλεύσομαι, ἔνδιον ἄστρων.

Εἰ δή μοι



Erit meo patri Deo dilectus vir:
Hunc æqualis beneuolétiæ & ego amplectar fœdere,
Et ei diuinam speciem mei corporis statim monstrabo.
Iesu verò respondit & dixit alius Iudas
Filius Iacobi, & non audax Iscariotes,
Domine, quomodo tuam speciẽ consentiens ostẽdis
Solis tuis sociis, & non inspicienti mundo?
Iesus autem dixit, concordem virum docens,
Quicunque vir me magis celebrans diligit,
Sermonem meum pectoribus firmis custodit,
Et sapientem virum hunc meus pater diliget.
Ambo verò ad vnum virum pater & ego venientes,
Domicilium per se fundatum erigemus in ipso,
Humana manentes in vocali domo.
Qui verò non diligit me, frustrà meum hic sinet
Obliuiosis neglectum verbum delatum ventis.
Et verbum non meum illud quod dixi, sed patris,
Cœlitus qui misit me opitulatorem mundi.
Vester autem comes super terram adhuc manens
Dixi ego hæc omnia: paracletus verò quãdo venerit,
Vos testificante sermone omnia docebit:
Ipse in memoriam reuocabit rursus vobis quæcunque apud vos
Dixi. pacem autem vitam seruantem vobis relinquam:
Pacem immotam meam comitem præbebo.
Non sicut vobis dat consuetam mundus errans,
Sic commune vos habere & ego munus præbebo.
Ne turbatio vestrum cor, ne formido commoueat.
Nunc me clamante meam audiuistis vocem,
Quòd reuersus ad meum vocantem patrem,
In cœlum altas ædes habens veniam, domicilium astrorum.

Si

Εἰ δέ μοι ἀκλινέας φιλίης ἐκεράσσατε θε-
σμούς,
Καί κεν ἀγαλλομένοιο ποδὸς σκιρτήσατε ταρσῷ,
Ξυνὸν χάρμα φέροντες, ὅτι χθονὸς οὖδας ἐάσας
Ἵξομαι ὑψικέλευθος ἐμῷ πέμψαντι τοκῆϊ.
Οὕνεχ' ὅλων μεδέων γενέτης ἐμεῦ ἔπλετο μείζων.
Ὑμῖν δ' ἔννεπον ἄρτι προάγγελον ἔνθεον ὀμφὴν,
Ὄφρα μιν ἣν τελέσειεν ἕλιξ χρόνος ἄστατος
ἕρπων,
Μύθου ἀναμνήσησθε παλαιφάτου, ὅτι παρ' ὑμῖν
Ἐσσόμενον θέσπισσα, προάγγελα χείλεα λύσας.
Ὑμῖν δ' οὐκέτι πολλὰ διίξομαι. ἀπροϊδὴς
γὰρ
Αἰενάου κόσμοιο φανήσεται ἀρχὸς ἀγήνωρ·
Ἔρχεται οὐδὲν ἔχων ἐν ἐμοὶ μέρος, ἀλλ' ἵνα μοῦνον
Μάρτυς ἐμὸς φράσσαιτο δαήμονι κόσμος ἀκουῇ
Ὡς φιλέω γενετῆρα, καὶ ὡς πεφυλαγμένα ῥέζω
Ὅσσα κυβερνητῆρι πατὴρ ἐπετέλλετο μύθῳ.
Στῆτε, καὶ ἴομεν ἔνθεν. Ἐγὼ παλιναυ-   Κεφ. ιε.
ξέϊ κόσμῳ
Ζωῆς ἄμπελός εἰμι, πατὴρ δ' ἐμός ἐστιν ἀλωεύς.
Κλῆμα δὲ καλλιπέτηλον ὃ μὴ μάθε βότρυν
ἀέξειν,
Τοῦτο διατμήσει· τὸ δὲ ποικίλον οἴνοπι καρπῷ,
Γειοπόνος βιότοιο πατὴρ ἐμὸς οἶδε καθαίρειν
Ἀρτιφύτοις πετάλοισιν, ἵνα μείζονα καρπὸν ἀέξῃ.
Νῦν καθαροὶ διὰ μῦθον ὃν ἔννεπον ἐστὲ, καὶ αὐτοὶ
Μίμνετε συμπεφυῶτες ἐμῷ παλιναυξέϊ θάμνῳ,
Μίμνετε συμπεφυῶτες ἐμοὶ βλαστήματα κόσμου.
Ἡμερίδων ὡς κλῆμα δυνήσεται οὔποτε τίκτειν,
Εἰ μὴ ἐν ἀμπελόεντι φυτῷ δενδρούμενον εἴη·
Βοτρυόεν μίμημα πολυπτόρθοιο κορύμβου,
Εἰ μὴ συμπεφυῶτες ἐμοὶ μίμνητε καὶ αὐτοὶ,
Ὑμέας οὐ σθένος ἐστὶ θεουδέα καρπὸν ἀέξειν.





Si verò mihi immobiles amicitiæ applicuiſſetis
leges,
Vtique geſtientis pedis exultaretis planta,
Commune gaudium ferentes, quòd terræ ſolo relicto
Veniam ſerus ad meum mittentem patrem:
Quia omnium rector pater me eſt maior.
Vobis verò dixi iam præoccupantē diuinām vocem,
Vt ipſam ſi perfecerit volubile tempus inſtabile re-
pens,
Sermonis recordemini olim dicti, quòd ſcilicet vobis
Futurum vaticinatus ſum prænuntia labia ſoluens.
Vobis verò non amplius multa ediſſeram. improui-
ſus enim
AEterni mundi apparebit princeps ſuperbus:
Venit nullam habens in me partem, ſed vt ſolùm
Teſtis meus intelligat prudenti mundus ſermone
Quòd diligo patrem, & quòd obſeruata facio
Quæcunque gubernante pater præcepit verbo.
Surgite, & eamus hinc. Ego recre-   Cap. XV.
ſcenti mundo
Vitæ vitis ſum, pater verò meus eſt agricola.
Palmitem autem frondeſcentem qui non nouit race-
mum ferre,
Hunc reſecabit: varium autem nigricante fructu,
Agricola vitæ pater meus nouit purgare
Recèns natis foliis, vt copioſiorem fructum cumulet.
Nunc puri propter ſermonem quem dixi eſtis, & ipſi
Manete inſiti in meo recreſcente frutice,
Manete inſiti mihi germina mundi.
Vrbanus vt palmes poterit nunquam fructum ferre,
Niſi vitiferæ plantæ inſitus arboreſcat:
Racemoſi inſtar multos ramos habentis corymbi,
Niſi ſimul inſiti mihi maneatis & ipſi,
Vos non poteſtis pium fructum proferre.

Ἄμπελος αὐδήεσσα πέλω, καὶ ὁμόζυγες ὑμεῖς
Κλήματα φωνήεντα, σοφῷ βεβριθότε καρπῷ.
Πᾶς βροτὸς ἐμπεδόμητις ὁμόπλοκος εἰς ἐμὲ μίμνων,
Οὗτος ἀναλδαίνει θεοπειθέα μείζονι μέτρῳ
Καρπὸν ἀεὶ θαλέθοντα, καὶ οὐ μινύθουσαν
ὀπώρην.
Εἰ δέ τις ἡμετέροισιν ἐν ἄρνεσι μηκέτι μίμνων,
Ἀμπελόεν μίμημα χυτῇ χθονὶ βάλλεται ἔξω,
Ἡμερίδων ὡς κλῆμα· καὶ ἐκταδὸν ὑψόθι γαίης
Κείμενος, ἀζαλέῳ ξηραίνεται ἶσα κορύμβῳ·
Καί μιν ἀναλλέξαντες ἔσω βάλλοισι καμίνου
Αἰθέριοι δρηστῆρες· ὁ δὲ φλογέῳ πυρὸς ἀτμῷ
Καίεται, ἀμπελόεντας ἐμοὺς ὅρπηκας ἐάσας.
Εἰ δ᾽ ἐν ἐμοὶ μίμνητε, καὶ ἡμετέρης ῥόος αὐδῆς
Ὑμέας ἀρδεύων ὑποκάρδιος ἔμπεδος εἴη,
Ὅσσα λαβεῖν ἐθέλητε, καὶ αἰτίζητε τοκῆα,
Ὑμῖν εἰν ἑνὶ πάντα τελείεται. ἀμφὶ δὲ τούτῳ
Ἡμέτερος γενέτης ὑψίζυγον ἔλλαχε τιμήν,
Ὑμεῖς ὄφρα φέρητε θεοῦ ζωαρκεῖ μύθῳ
Πίστιος ἔμφρονα καρπόν. ἐμοὶ δ᾽ ἔσσεσθε μαθηταὶ
Ἤθεσιν ἀτρέπτοισιν ἀληθέες. ὑψινεφὴς δὲ
Ὥς με πατὴρ ἐφίλησεν ἀλωφήτῳ τινὶ θεσμῷ,
Ὑμέας ὡς ἀγάπαζον. ἐμῷ δ᾽ ἐπιμίμνετε φίλτρῳ,
Αἴκεν ἀκοιμήτοισιν ἐμὸς νόος οὔατα δύνων,
Ὑμετέρης πραπίδεσσιν ἀεὶ φρουρούμενος εἴη,
Δεσμὸν ἐμῆς φιλότητος ὑπὸ φρένας αἰὲν ἀέξων·
Ὥς κεν ἐγὼ γενετῆρος ἀμεμφέα θεσμὰ φυλάσσων,
Πατρῴης ἀγάπης ἐπινεύμενος εἰσέτι μίμνω.
Ὑμῖν δ᾽ ἔμπεδα ταῦτα φίλα φρονέων ἀγορεύω
Ὑμείων ἵνα χάρμα πέλοι, καὶ πᾶσιν ἐν ὑμῖν
Χάρμα πολυσφρήγιστον ἐμὸν τετελεσμένον εἴη.
Ἀπλανέος πρὸς τοῦτ᾽ ἐμὸς ὅρος ἐστὶν ἐφετμῆς,
Ἀλλήλους ἵνα πάντες ἀεὶ φιλέοιτε καὶ ὑμεῖς,
Δεσμὸν ἐς ἀλλήλους φιλίης ἀλύτοιο φυλάσσειν.

Ὑμίας



Vitis loquens ſum, & coniugati vos
Palmites vocales, ſapiente degrauati fructu.
Omnis homo firmi conſilii cōplicatus in me manens,
Hic auget Deo credentem maiori menſura
Fructum ſemper vireſcentem, & non temporalem o-
poram.
Si verò quis noſtros inter agnos non amplius manēs,
Vitis inſtar in terram eiicitur extrà,
Domeſticus vt palmes: & extenſè ſuper terram
Iacens, aridus ſiccatur vt ramus:
Et ipſum colligentes proiiciunt in furnum
Cœleſtes miniſtri: ille verò flammeo ignis æſtu
Vritur, vitiferos meos ramos relinquens.
Si verò in me manſeritis, & noſtræ riuus vocis
Vos irrigans cor ſubiens firmus fuerit,
Quæcūque accipere volueritis, & petieritis patrem,
Vobis in vniuerſum omnia perficientur. in hoc autē
Noſter pater altiiugum ſortitus eſt honorem,
Vos vt feratis Dei vitali verbo
Fidei prudentem fructum. mei autē eritis diſcipuli
Moribus immutabilibus veri. ſublimis verò
Sicut me pater dilexit indeſinente quadam lege,
Sic vos dilexi. in meo autem manete amoris affectu,
Siquidem peruigilibus mea lex aures ſubiens,
veſtris præcordiis ſemper cuſtodita fuerit,
vinculum meæ amicitiæ mente ſemper augens:
Sicut & ego patris irreprehēſibiles leges cuſtodiens,
Paternā in dilectionē me inclinans adhuc maneo.
vobis autem firma hæc amica ſentiens dico,
vobis vt gaudium ſit, & omnibus in vobis
Gaudium bene ſigillatum meum perfectum ſit.
Firmi ſapiens hic meus terminus eſt præcepti,
Inuicem vt omnes ſemper diligatis & vos,
Vinculum inuicem amicitiæ firmæ cuſtodiendo,

Ὑμέας ὡς ἀγάπαζον. ἐγὼ δ᾽ ἄρα μείζονα ταύτης
Τοσσατίης ἀγάπης ἑτέρην οὐκ οἶδα νοῆσαι,
Λύτρον ἐὰν ἑτάρων ζωάγρειον ὄφρα τις αὐ-
τὴν
Ψυχὴν πᾶσι μέλουσαν ἀλεξήτειραν ὀπάσσῃ.
Ὑμεῖς εἰν ἑνὶ πάντες ἐμοὶ φίλοι, αἴκεν ἐφετμὰς
Ἡμετέρας τελέσητε βιαρκέας ἃς ἐπιτέλλω.
Ὑμέας οὐκέτι πάντας ἐμοὺς θεράποντας ἐνίψω.
Δοῦλος ἀνὴρ οὐκ οἶδε τί κοίρανος ἔργον ὑφαίνει,
Δοῦλος ἀνὴρ οὐκ οἶδεν· ἐμοὺς δ᾽ ὀνόμηνα ἑταίρους
Ὑμέας. ὅσσα γὰρ αὐτὸς ἐπουρανίης ἀπὸ φωνῆς
Ἔκλυον ἡμετέροιο φιλοστόργοιο τοκῆος,
Ὑμῖν πᾶσιν ἔφηνα. καὶ οὐ βροτέῃ με μενοινῇ
Ὑμεῖς ἐξελέγεσθε· διακρίνων δὲ μαθητὰς
Ὑμέας ἐκ πολέων νοερῇ φρενὶ πάντας ἐλέγμην
Πιστοτέρους, καὶ ἔθηκα συνήλυδας, ὄφρα μολόντες
Καρπὸν ἀεξήσητε, καὶ ὑμείων σπόρος εἴη
Κάρπιμος εἰς αἰῶνα· καὶ ἱκεσίῳ τινὶ μύθῳ
Ὅ,ττι κεν αἰτίζητε παρ᾽ ὑψίστου βασιλῆος,
Οὔνομα κικλήσκοντες ἐμόν, ξύμπαντα τελέσσω.
Ταῦτα θεοπροπέων ἐπιτέλλομαι ἔμφρονι μύθῳ
Δεσμὸν ἐς ἀλλήλους φιλίης ἀλύτοιο φυλάσσειν.
Ὑμέας εἰ στυγέει σφαλερῇ φρενὶ κόσμος ἀγήνωρ,
Τοῦτο χαμαιγενέων γινώσκετε μάρτυρες ἔργων,
Ὑμείων ὅτι μᾶλλον ἐπεσβολίῃσιν ἐλέγχων,
Πρῶτον ἐμὲ στυγέεσκε· καὶ εἰ χθονίων τύπον ἀν-
δρῶν
Ἦθος ἀλιτροβίοιο βιοπλανὲς εἴχετε κόσμου,
Ὑμέας ὡς ἰδίους ἑταρίζετο κόσμος ἀλήτης·
Ἀλλ᾽ ἐπεὶ ἀμπλακίην βροτέης οὐκ ἴστε γενέθλης,
Καὶ σκολιὰς κόσμοιο μελήδονας, ἀφραδέος δὲ
Ὑμέας ἐκ κόσμοιο νοήμονας αὐτὸς ἐδέγμην,
Ὡς νόθον ἀνδρομέης οὐ γνήσιον αἷμα γε-
νέθλης,





Sicut vos dilexi. ego sanè maiorem hac
Tanta dilectione aliam non noui intelligere,
Pretium redemptionis pro suorum sociorum vita vt
quis ipsam
Animam omnibus charam adiutricem præbeat:
Vos simul omnes mei amici [estis] si præcepta
Nostra facietis vitam ferentia quæ præcipio.
Vos non amplius omnes meos ministros vocabo.
Seruus vir non nouit quod dominus opus texit, .
Seruus vir non nouit: meos autem nominaui socios
Vos. quæcunque enim ipsi cœlesti à voce
Audiui nostri beneuoli patris,
Vobis omnibus manifestaui. & nō mortali me animo
Vos elegistis: discernens autem discipulos
Vos ex multis intelligente mente omnes suscepi
Fideliores, & feci comites, vt venientes
Fructum accumuletis, & vestrum semen sit [ne
Fructiferum in æternum. & supplici quodam sermo-
Quodcunque petieritis ab altissimo patre,
Nomen inuocantes meum, omnia perficiam.
Hæc prædicens præcipio prudenti sermone [tis.
Vinculum inuicem amicitiæ insolubilis vt custodia-
Vos si odit errante mente mundus superbus,
Hoc humigenitorum scitis testes operum,
Quàm vos quòd magis conuitiis incessens,
Priùs me odio habuerit: &, si terrestrium formam
virorum
Mores nocentis inconstantes haberetis mundi,
Vos tanquam proprios associaret mundus errans.
Sed quia erratum humanæ nescitis generationis,
Et curuas mundi cogitationes, imprudente verò
Vos ex mundo intelligentes ipse suscepi,
Vt spurium humanæ non legitimum sanguinem ge-
nerationis,

Ὑμέας ἔστυγε κόσμος· ἐν ἀτρέπτῳ δὲ μενοινῇ
Ἡμετέρου μέμνησθε σαόφρονος εἰσέτι μύθου,
Εἰς ἓν ἀγειρομένοις τὸν πρώιον ἔννεπον ὑμῖν,
Δοῦλος ἀνὴρ οὐκ ἔστιν ἑοῦ βασιλῆος ἀρείων·
Οὐδὲ τινὸς πέμψαντος ἀπόστολος ἔπλετο μείζων.
Εἰ βροτέη με δίωκεν ἀπειλήτειρα γενέθλη,
Ἐξελάσει μετόπισθε καὶ ὑμέας· εἴτε καὶ αὐτὸν
Μῦθον ἐμῶν πραπίδων φρουρούμενον ἔνδοθι κεύθει,
Καὶ λόγον ὑμείων κραδίης ἔντοσθε φυλάξει.
Ταῦτα δὲ πιστὸν ἐμεῖο δι' οὔνομα φῶτες ἀλιτροὶ
Ζηλήμονες τελέσουσιν ἐς ὑμέας. ἀμφοτέρους γὰρ
Οὔτ' ἐμὲ γινώσκουσι, καὶ οὐ πέμψαντα τοκῆα.
Εἰ μὴ πατρὸς ἵκανον ἐγὼ ζωαρκέι πομπῇ,
Πᾶσι θεουδείης ὁδὸν ἔννεπον οὐκ ἂν ἐκεῖνοι
Εἶχον ἀλιτροσύνην νεμεσήμονα· νῦν δὲ μαθόντες
Οὐ πρόφασιν μεθέπουσιν ἐλεύθερον ἄφρονος ἄτης.
Ὅστις ἀπεχθαίρει με καὶ ἡμέτερον γενετῆρα,
Οὗτος ἀτασθάλλων, ἀλιτήμονος ἔμπλεος ἀρῆς,
Μισεῖ παμμεδέοντα θεόν, τεχνήμονα κόσμου.
Εἰ μὴ ἐγὼ κάμον ἔργα τὰ μὴ μάθεν ἄλλος ἀνύσσαι,
Αὐτῶν δερκομένων ὅτε μάρτυρες ἦσαν ὀπωπαί,
Οὐκ ἂν ἀτασθαλίης ποινήτορας εἶχον ἀμοιβάς·
Νῦν δὲ καὶ εἰσορόωσι, καὶ ἀμφοτέρους ἑνὶ θεσμῷ
Αὐτὸν ἐμὲ στυγέουσι, καὶ ὑψιμέδοντα τοκῆα.
Ἀλλὰ νόμου γραφικοῖο τόπερ φάτο θέσκελος ὀμφὴ
Ἀνέρος εὐφόρμιγγος ὅπως τετελεσμένον εἴη,
Περικὸς ἐμὲ στυγέεσκον. ἐπὴν δ' ἐπιδήμιον ἔλθῃ
Πνεῦμα θεοῦ νοεροῖο διαρνύμενον γενετῆρος,
Πνεῦμα τόπερ παρὰ πατρὸς ἐς ὑμέας αὐτὸς ἰάλλω,
Πολλά με κηρύξειε παρ' ἀνδράσι· πολλὰ καὶ
ὑμεῖς
Ἀμφ' ἐμέθεν φθέγξεσθε δαήμονι μάρτυρι μύθῳ.
Καὶ γὰρ ἐμοὶ παρεόντες, ὁμόφρονες ἐστὲ μαθηταί,
Ἐξ ἀρχῆς γεγαῶτες ὅλων θηήτορες ἔργων.

Ὑμῖν



Vos odit mundus. immutabili autem mente
Nostri meministis prudentis adhuc sermonis,
In vnum congregatis quem antea dixi vobis,
Seruus vir non est suo rege præstantior:
Neque aliquo mittente legatus est maior.
Si humana me persequuta est minax generatio,
Expellet deinceps & vos: si & ipsum
Sermonem mei pectoris custoditum intus occultat,
Etiam sermonem vestrum intra cor custodiet.
Hæc verò fidele meũ propter nomen viri peccatores
Inuidi facient vobis. neutrum enim
Nec me cognoscunt, nec mittentem patrem.
Nisi à patre venissem ego vitali deductione,
Omnibus pietatis viam dixissem, non sanè illi
Haberent peccatum vindicandum: nunc verò edocti
Non excusationẽ habent liberam insipientis erroris.
Qui odit me & nostrum parentem,
Hic iniustè agens, scelerata plenus execratione,
Odit omnium rectorem Deum, opificem mundi.
Nisi ego fecissẽ opera quæ nõ didicit alius perficere,
Ipsis videntibus quando testes erant oculi,
Non sanè impietatis vindices haberent pœnas:
Nunc autem & vident, & ambos vna lege
Ipsum me oderunt, & altiregentem patrem.
Sed legis scriptæ quod dixit diuina vox
Viri pulchram citharam habentis vt impleretur,
Gratis me oderunt. Postquã verò extraneus venerit
Spiritus Deo intelligenti procedens à patre,
Spiritus quem à patre ad vos ipse mittam,
Multum me prædicabit apud homines: multum &
vos
De me loquemini prudenti testificante sermone.
Etenim mecum præsentes, concordes estis discipuli,
Ab initio facti omnium inspectores operum.

Ὑμῖν δ' ἔμπεδα ταῦτα προθεσπίζων ἀγορεύω, Κεφ. ις.
Μὴ θρασὺς οἶστρος ἄπιστος ἐς ὑμετέρην φρένα βαίνῃ.
Ὑμέας ἐξελάσουσι θεοκλήτοιο μελάθρου,
Ἀλλὰ ταχὺς χρόνος ἔσσεται ὅτε φρεσὶ πᾶς βροτὸς ἀνὴρ
Ὑμέας ὃς κτείνειεν ἀλιτηρῷ σιδήρῳ,
Δουλοσύνην ἔλποιτο θεῷ φιλέοντι τελέσσαι,
Ἄνδρα θυηπολέων βοέης μίμημα γενέθλης,
Ἰσάζων θυέεσσι βοῶν φθισήνορα λοιβήν.
Καὶ τὰ μὲν οἰστρηθέντες ἀμετρονόῳ τινὶ λύσσῃ
Δυσσεβέες τελέσουσιν ἐς ὑμέας. οὐδὲ γὰρ αὐτοὶ
Υἱέα γινώσκουσι καὶ ὑψιμέδοντα τοκῆα.
Ἀλλὰ τὰ μὲν ξύμπαντα προέννεπον, ὄφρα κεν αὐτῶν
Ὄψιμος ἀγχιτέλεστος ὅτε χρόνος ὥριος ἔλθῃ,
Ἡμετέρων μνήσησθε προάγγελα θέσφατα μύθων.
Ταῦτα δὲ μυθοτόκου κραδίης κεκαλυμμένα σιγῇ
Ἐξ ἀρχῆς νοέων οὐκ ἔννεπον, εἰσέτι μίμνων
Ὑμείων ὁμόφοιτος ἐπὶ χθονί. νῦν δὲ τοκῆϊ
Ἵξομαι ὀψικέλευθος ἐς αἰθέρα, γαῖαν ἐάσας.
Οὐδέ τις ὑμείων με παρεδρήσσων ἐρεείνει,
Κοίρανε, πῆ σπεύδεις; τίνα μοι τίνα χῶρον ἱκάνεις;
Ἀλλ' ὑμῖν ὅτι ταῦτα διήϊον, ἠνίδε πολλὴ
Ὑμετέρην ἔπλησεν ὅλην φρένα πενθὰς ἀνίη.
Ἀτρεκίην δ' ἀγόρευον ἀμεμφέα. τηλεφανῆ δὲ
Ὑμῖν λώϊόν ἐστιν ἐς οὐρανὸν ὄφρα περήσω.
Εἰ μὴ γὰρ παλίνορσος ἐς αἰθέρα νόστιμος ἔλθω,
Πνεῦμα θεοῦ ζώοντος ἐς ὑμέας οὔποτε βαίνει·
Ἢν δὲ μόλω, μετὰ γαῖαν ἀπ' αἰθέρος αὐτὸς ἰάλλω.
Ἐλθὸν δ' ἐνθάδε κεῖνο, ἀπειθέα κόσμον ἐλέγξει,

Εἵνεκα



Vobis autem firma hæc prædicens narro, **Cap. XVI.**
Ne audax ſtimulus incredulus in veſtram mentem veniat.
Vos expellent diuino è templo:
Sed velox tempus erit id quum mente quilibet mortalis vir
Vos qui interfecerit pernicioſo gladio,
Seruitutem ſperet Deo charo perficere,
Virum mactans bouini inſtar generis,
AEquiparans ſacrificiis boum hominibus exitioſam libationem.
Et hæc quidem incitati vecorde quadam rabie
Impii perficient in vos. neque enim ipſi
Filium cognoſcunt & celſiregem patrem.
Sed quidem hæcomnia prædixi, vt & ipſorum
Serum propinquum quando tempusopportunũ venerit,
Noſtrorũ recordemini prænuntia fatidica ſermonũ.
Hæc verò verborum fœcundi cordis tecta ſilentio,
Ab initio intelligens non dixi, adhuc manens
Veſter comes ſuper terram: nunc autem ad patrem
Veniam ſerus in cœlum, terra relicta.
Neque aliquis ex vobis aſſidens interrogat,
Domine, quò feſtinas? in quem mihi locum venis?
Sed vobis quia hæc retuli, ecce multa
Veſtram repleuit totam mentẽ luctuoſa moleſtia.
Veritatem autem dixi irreprehenſibilem. procul apparens verò
Vobis melius eſt in cœlum vt migrem.
Niſi enim reuerſus in cœlum redux venero,
Spiritus Dei viui ad vos nunquam venit:
Si verò abiero, in terram è cœlis ipſe mittam.
Veniens autem huc ille, incredulum mundum redarguet,

Cauſa

Εἵνεκα δυσσεβίης ἀλιτήμονος. ἀλλὰ καὶ αὐτῆς
Ἀμφὶ δικαιοσύνης καὶ κρίσιος. ἀμπλακίης μὲν,
Ὅττι κεν εἰς ἐμὲ πάντες ἀπειθέες· εὐσεβέος δὲ
Ἀμφὶ δικαιοσύνης, ὅτι νόσιμός εἰμι τοκῆϊ,
Οὐδέ με θηήσεσθε συνέστιον εἰσέτι φωτῶν·
Εἵνεκα δὲ κρίσιος ποινήτορος, εἵνεκα κόσμου
Κέκριται ἀενάοιο πολύτροπος ἀρχὸς ἀγήνωρ.
Πολλὰ δ' ἔχων ἐνέπειν, ἀναδύομαι. οὐ γὰρ ἀκούειν
Πλείονος ἄρτι δύνασθε. παράκλητος δ' ὅταν ἔλθῃ,
Πάντα κυβερνήσει· ἀληθείῃ δ' ἐνὶ πάσῃ
Ὑμείων ὀχετηγὸς ἐς ἀτραπὸν ἡγεμονεύσει.
Οὐδὲ γὰρ αὐτοκέλευστος, ἀνήκοος οὐδὲν ἐνίψει,
Ἀλλ' ὅπερ εἰσαΐει, καὶ φθέγξεται· ἐσσομένων δὲ
Ὑμῖν εἰν ἑνὶ πᾶσι προθεσπίζει τέλος ἔργων.
Οὗτος ἐὼν παρὰ πατρὸς, ἀνυψώσει με γεραίρων·
Ὅττι κεν ἡμετέροιο δεδεγμένος ἐκ γενετῆρος
Ὑμῖν συμμιγέεσσι προάγγελα θέσφατα φαίνει
Ὅσσαπερ ἔσσεται ὔμμι. καὶ ἀρχεγόνῳ τινὶ θεσμῷ
Κλῆρος ἐμὸς πέλε πάντα πατὴρ ἐμὸς ὅσσα κομίζει.
Οὗ χάριν ὔμμιν ἔειπον ὅτι ζαθέοιο τοκῆος
Δέγμενος ἡμετέροιο προαγγέλλει τέλος ἔργων.
Βαιὸς ἔτι χρόνος ἐστὶ λελειμμένος, οὔτέ με κόσμου
Οὐκέτι θηήσεσθε συνέμπορον. ἀγχιφανὴς δὲ
Λείπεται εἰσέτι βαιὸς ἕλιξ χρόνος, οὔτέ με μοῦνοι
Ἔμπαλιν ἀθρήσητε, καὶ αἰθερίων ἐπὶ κόλπων
Ἵξομαι εἰς γενετῆρα. Καὶ ἐφθέγγοντο μαθηταὶ,
Μῦθον ὑποκλέπτοντες ἔσω φρενὸς, ἔγγυον αὐδῆς,
Γλώσσης ἀγχικέλευθον, ἁμιλλητῆρα σιωπῆς,
Τίς πέλεθει λόγος οὗτος ὃν ἔννεπεν, ὡς ἔτι βαιὸς,

Βαιὸς



Causa impietatis sceleratæ. sed & ipsius
Causa iustitiæ & iudicii. propter peccatum quidem,
Quia in me omnes increduli: piam verò
Propter iustitiam, quòd redeo ad patrem,
Nec me videbitis conuictorem amplius hominum:
Propter verò iudicium vindex, quia mundi
Iudicatus est æterni versutus princeps superbus.
Multa autem habens ad dicendum, renuo. non enim audire
Plura iam potestis. Cõsolator verò quando venerit,
Omnia gubernabit: atque veritate in omni
Vester deductor in viam dux erit.
Nam per se iussus, expers auditus nihil dicet,
Sed quodcunque audit, etiam loquetur: futurorum verò
Vobis simul omnibus vaticinabitur finem operum.
Hic exiens à patre exaltabit me honorans:
Quia nostro recipiens à patre
Vobis promiscuis tempus præoccupantia oracula ostendet
Quæcunque euenient vobis. & prisca quadam sanctione
Sors mea sunt omnia pater meus quæ habet.
Propter quod vobis dixi quòd diuinò à patre
Recipiens nostro prænunciabit finem operum.
Pusillũ adhuc tempus est relictum, ex quo me mundi
Non amplius videbitis comitem: vicinum verò
Deest adhuc pusillũ volubile tempus, ex quo me soli
Rursus aspicietis, & cœlestes per sinus
Veniam ad patrem. Et dixerunt discipuli,
Sermonem supprimentes intra mentem, promissorem vocis,
Linguæ propinquum, æmulum silentii,
Quis est sermo hic quem dixit, quòd adhuc pusillũ,

Pusil-

Βαιὸς ἔτι χρόνος ἐστὶ λελειμμένος, εὖτέ με κόσμου
Οὐκέτι θηήσεσθε συνέμπορον· ἀγχιφανὴς δὲ
Λείπεται εἰσέτι βαιὸς ἕλιξ χρόνος, εὖτέ με μούνοις
Ἔμπαλιν ἀθρήσητε, καὶ ἵξομαι εἰς γενετῆρα;
Ἰησοῦς δ᾽ ἑτάρων δεδαημένος αἰόλον ἦτορ,
Ὅττι συνεφθέγγοντο, καὶ ἤθελον ἐξερεείνειν,
Προφθαδίην ἀγόρευε περισσονόοισι μαθηταῖς.
Τίπτε μετ᾽ ἀλλήλων μαστεύετε γείτονι γλώσσῃ
Εἰ μετὰ βαιὸν ἔειπον ἀπὸ βλεφάρων μεταβαίνω·
Καὶ πάλιν εἰσέτι βαιὸν ἐσαθρήσητε φανέντα;
Ὅρκιον ἐμπεδόμυθον ἀμὴν ἀμὴν ἀγορεύω,
Κλαύσετε, καὶ θρηνοὺς ἐπαείσετε· λυσσαλέος δὲ
Κόσμος ἐπ᾽ οὐχ ὁσίοισι χαρήσεται· ἀλλὰ καὶ αὖθις
Πένθιμος ὑμετέρης μετανείσεται οἶστρος ἀνίης,
Ὅττι γυνὴ βαρύφορτος ἄχος περὶ θυμὸν ἑλίσσει,
Ὀξυτέροις βελέεσσιν ἱμασσομένη τοκετοῖο.
Ὥρην γὰρ τρομέει βαρυώδινον· ἢν δὲ λοχεύσῃ,
Δεσμῶν πεπαινομένης ἀποσείεται ἄχθος ἀνίης,
Καὶ προτέρης ὀδύνης οὐ μνάεται, ὅττι καὶ ἄλλος
Ἀρτιφανὴς βλάστησεν ἀνὴρ παλιναυξέϊ κόσμῳ.
Ἀγχιτόκου μίμημα λεχωΐδος, ἄρτι καὶ ὑμεῖς
Πρῶτα μὲν ἀγρύπνοισιν ἀμύξετε θυμὸν
ἀνίαις·
Ἀλλά που ἀθρήσω πάλιν ὑμέας, ὑμετέρη δὲ
Γηθήσει κραδίη παλινάγρετος· ὑψιφανὲς δὲ
Χάρμα παρ᾽ ὑμείων ἀμετάτροπον οὔτις ἀμέρσει
Εἰς χρόνον οὐ λήγοντα, καὶ ὡς πάρος ἤματι κείνῳ,
Οὐδὲν ἔτι προτέρῳ με σοφῷ προσπτύξετε
μύθῳ.
Ὅσσα γὰρ αἰτήσητε θεοκλήτῳ τινὶ φω-
νῇ,
Ἔσσεται ἔμπεδα ταῦτα χαριζομένοιο τοκῆος.
Μέχρι δὲ νῦν οὔπω βιοτήσιον ἔργον ἀνύσσαι
Πατρόθεν ᾐτήσασθε φίλον γέρας· ἀλλὰ τελέσσαι

Ἄρτι



Pusillum adhuc tēpus est relictum, ex quo me mundi
Non amplius videbitis comitem: propinquum verò
Deest adhuc pusillum volubile tēpus, ex quo me soli
Rursus aspicietis, & veniam ad patrem?
Iesus verò sociorum intelligens varium cor,
Quòd colloquuti essent, & volebant interrogare,
Anteuertens sermone dixit solertibus discipulis,
Cur inuicem inquiritis vicina lingua
Quòd post pusillum dixi ab oculis recedo:
Et rursus post pusillum aspicietis apparentem?
Iusiurandum firmiloquum Amen Amen dico,
Plorabitis, & lacrymas incinetis: rabiosus verò
Mundus in non sanctis gaudebit: sed & rursus
Luctuosus vestræ transibit stimulus tristitiæ,
Quia mulier grauida tristitiam animo voluit,
Acutis sagittis afflicta partus.
Horam enim horret grauis partus: si vero pepererit,
Acutum concocti excutit pondus mœroris:
Et prioris doloris non meminit, quia & alius
Nuper apparens germinauit vir recrescenti mundo.
Vicinæ partui instar puerperæ iam & vos
Primùm quidem vigilibus pungetis animum mœ-
roribus:
Sed videbo rursus vos, vestrum autem
Gaudebit cor rursus collectum: sublime etiam
Gaudium à vobis immutabile nullus auferet
In æternum, & vt antea die illo,
Nihil amplius priore me sapiente interrogabitis
verbo.
Quæcunque enim petieritis Deum inuocante quadã
voce,
Erunt firma omnia à beneuolo patre.
Huc vsque nondum vitale opus perficere
A patre postulastis charum munus: sed perficere

Modo

Ἄρτι πάλιν λίσσεσθε, καὶ ὑμέας ὁππόσα θέλητε,
Πάντα παρ' ὑψιμέδοντος ἐμοῦ δέξεσθε τοκῆος,
Χάρμα ὅπως γλυκὺ ὑμέτερον τετελεσμένον εἴη.
Νῦν σκολιοῖς ἐπέεσσι παραβλήδην ἀγορεύω·
Ἤδη δ' ἀγχιτέλεστος ἐλεύσεται ἔνθεος ὥρη,
Ἀμφαδίην ὅτε πάντα θεοῦ παρὰ πατρὸς ἀκούσας
Ἵξομαι ἀγγέλλων ἑτερόχροα λευκάδι φωνῇ
Μύθων ὀρθὰ κέλευθα, καὶ οὐκέτι δόχμιον ὀμ-
φήν.
Καὶ θεὸν αἰτήσητε πολύλλιτον ἤματι
κείνῳ
Εὐχωλαῖς ὁσίῃσι· καὶ οὐκέτι τοῦτον ἐνίψω
Ὡς πάρος ἠθάδα μῦθον, ἐμὲν ζώοντα τοκῆα
Εἵνεκεν ὑμείων μειλίξομαι. ὑψιμέδων γὰρ
Ἀντίτυπον πόθον αἰνὸν ἐμοῖς φίλτροισι φυλάσσων
Ὑμέας αὐτοκέλευστος ἐμὸς γενέτης ἀγα-
πάζει·
Ὅττι θεοῦ λόγον υἷα σοφῷ καὶ ὁμόφρονι δεσμῷ
Θεσπέσιον εἰς ἐμὲ φίλτρον ἐπιστώσασθε καὶ
ὑμεῖς
Ἤθεσιν ἀπλανέεσσιν· ἐπεφράσσασθε δὲ μύθῳ
Ὅττι φερεζώοιο θεοῦ παρὰ πατρὸς ἱκάνω.
Ἦλθον ἐγὼ παρὰ πατρὸς, ἐφωμίλησα δὲ κόσμῳ·
Καὶ πάλιν ἀμπλακίης ἐγκύμονα κόσμον ἐάσω·
Καὶ ταχὺς ἵξομαι αὖθις ἐμῷ πέμψαντι τοκῆϊ.
Καὶ οἱ πάντα μαθόντες ἐπεφθέγξαντο μαθηταί,
Ἀμφαδὰ νῦν λαλέεις, οὐ φθέγγεαι ὄργια μύθων
Λοξὰ παρατροπέων, ἑτέρης ἐπιδευέα φωνῆς.
Νῦν ἄρα νῦν ἐδάημεν ὅτι βροτέης ἀπὸ φωνῆς
Οὐ χατέεις ἵνα τίς σε παραφθάσας ἐρεείνῃ·
Οὗ χάριν ἀσφαλέως γινώσκομεν ὅττι σὺ κόσμῳ
Χριστὸς ἐπουρανίοιο θεοῦ γόνος αὐτὸς ἱκάνεις.
Ἰησοῦς δ' ἀπάμειπτο, προθεσπίζων τέλος ἔργων,
Ἄρτι μεταστρεφθέντες ἐμῷ πιστεύετε μύθῳ;

Ἐγγύθι



Modò rurſus petite, & vos quæcunque delectant,
Omnia ab celſirege meo recipietis patre,
Gaudium vt ſuaue veſtrum perfectum ſit.
Nunc curuis verbis per parabolam loquor:
Iam verò propè perfecta veniet diuina hora,
Apertè quando omnia à Deo patre audiens
Venturus ſum annuntians varia aperta voce
Sermonum rectas vias, & non amplius obliquam vo-
cem.
Et Deum orabitis multis precibus inuocandum die [illo
Precationibus ſanctis. & non amplius hunc dicam
Vt antea conſuetum ſermonem, meum viuentem
patrem
Propter vos demulcebo. altiregens enim
Expreſſum deſiderium ſanctum mei amoris cuſto-
diens
Vos ſponte meus pater diligit:
Quia Dei verbum filium ſapienti & concordi vin-
culo
Diuinum in me amorem coniunxiſtis & vos
Moribus non errantibus: & cognouiſtis ſermone
Quòd vitam ferente à Deo patre venio.
Veni ego à patre, & conuerſatus ſum in mundo:
Et rurſus peccato refertum mundum relinquo:
Et celer veniam rurſus ad meum mittentem patrem.
Et ei omnia edocti reſponderunt diſcipuli,
Apertè nunc loqueris, nõ loqueris myſteria verborũ
Curua peruertens, aliena indigentia voce.
Nunc ſanè nunc ſcimus quòd humana voce
Non indiges, vt quis te præueniens roget.
Propter quod certò cognoſcimus quòd tu mundo
Chriſtus cœleſtis Dei filius ipſe venis.
Ieſus autem reſpondit, prænuntians finem operum,
Iam conuerſi meo creditis ſermoni?

Propè

Ἐγγύθι δὲ χρόνος οὗτος ὅτε σκίδναθε φυγόντες
Εἰς ἑὸν οἶκον ἕκαστος, ἀπόσσυτος ἄλλος ἀπ' ἄλλου,
Μοῦνον ἐμὲ προλιπόντες· ἐγὼ δ' ὅτε λαὸς ἱκάνει
Δήϊος, οὐ μόνος εἰμὶ, καὶ εἰ φεύγοισι μαθηταὶ,
Ἀλλὰ μένων μετ' ἐμεῖο πατὴρ ἐμὸς οὔποτε λήγει.
Ἀλλὰ τάδε ξύμπαντα διήϊον, ὄφρα κεν αἰεὶ
Εἰρήνην ἀτίνακτον ἐμοὶ σπεύσητε φυλάσσειν
Εἰς χρόνον οὐ λήγοντα. πολυφλοίσβῳ δ' ἐνὶ κόσμῳ
Θλιβόμενοι τρύχεσθε μεληδόσιν, ἀλλὰ καμόντες
Θαρσαλέοι γίνεσθε, βροτῶν ὅτι μείζονα ῥέξω.
Κόσμον ἐγὼ νίκησα. Καὶ αὐτίκα τοῦτο βοήσας, Κεφ. ιζ.
Εἰς πόλον ὄμμα τίταινεν, ἑῷ δ' ἰάχησε τοκῆϊ,
Υἷα πάλιν κύδαινε τεὸν πάτερ, ὄφρα γεραίρῃ
Οὐράνιον σε τοκῆα τεὸν τέκος, ὡς πόρες αὐτῷ
Σαρκὸς ὅλης βροτέης πρυμνήσιον ἡνιοχεύειν.
Βούλομαι εἰν ἑνὶ πάντας ὅσους πάρος ὤπασας αὐτὸς
Ζωὴν θεσπεσίην αἰώνιον ἀμφιπολεύειν,
Ὄφρα σε γινώσκωσι θεὸν μόνον ἐλπίδα κόσμου,
Καὶ τεὸν ὃν προέηκας ἐπὶ χθόνα Χριστὸν Ἰησοῦν.
Αὐτὸς ἐγώ σε γέραιρον ἐπὶ χθονὸς ἔργον ἀνύσσας
Νεύμασιν ὑμετέροισι, τό μοι πόρες ὄφρα τελέσσω·
Καὶ σύ με νῦν κύδαινε τεῇ πάτερ ἤθαδι τιμῇ,
Ἣν παρὰ σοὶ πάρος εἶχον ὅτε ζαθέῳ σέο μύθῳ
Οὔπω κτιζομένοιο θεμείλια πήγνυτο κόσμου.
Οὔνομα σὸν κήρυξα παρ' ἀνδράσιν οὓς ἀπὸ κόσμου
Υἱέϊ σῷ παρέδωκας, ἀφεγγέος ὄμματι κόσμου·
Ὑμέτεροι γεγάασι, σὺ δὲ σφέας ἡνιοχεύεις·
Δῶκας ἐμοὶ, καὶ πιστὸν ἐν ἀτρέπτῳ τινὶ θεσμῷ
Μῦθον σεῖο φύλαξαν· ἐπιφράσσαντο δὲ μύθῳ

Ἐκ



Propè verò eſt tempus hoc quando diſpergimini fugientes
Ad ſuam domum quilibet, abſcedens alius ab alio,
Solum me relinquentes: ego autem quando populus venit
Hoſtilis, non ſolus ſum, etiamſi fugiant diſcipuli,
Sed manere mecum pater meus nunquam deſinit.
Sed hæc omnia retuli vt ſemper
Pacem inconcuſſam mihi feſtinetis ſeruare
In tempus non deſinens. ſonoro autem in mundo
Afflicti torquemini curis, ſed patientes
Confidite, hominibus quia maiora faciam.
Mundum ego vici. Et ſtatim hæc loquutus, Cap. XVII.
In cœlum oculos direxit, & ad ſuum ſonuit patrem,
Filium rurſus glorifica tuum, vt honoret
Cœleſtem te patrem tuus filius. ſicuti dediſti ei
Carnis omnis humanæ retinacula moderare.
Volo inſimul omnes quoſcunq; antea præbuiſti ipſe
Vitam diuinam æternam complecti,
[Quæ eſt] vt te cognoſcāt Deum ſolum ſpem mundi,
Et tuum quem præmiſiſti in terram Chriſtum Ieſum.
Ipſe ego te honoraui ſuper terram opus perficiens
Nutibus tuis, quod mihi præbuiſti vt perficiam:
Et tu me nunc glorifica tuo pater conſueto honore
Quem apud te antè habebam quando diuino tuo verbo
Nondum creati fundamenta figebantur mundi.
Nomē tuū prædicaui apud homines quos ex mundo
Filio tuo dediſti, cæci lumini mundi:
Tui ſunt, tu verò ipſos regis:
Dediſti mihi, & fidelem immutabili quadam lege
Sermonem tuum obſeruarunt, & cognouerunt ſermone

Ἐκ σέθεν ὡς πέλε πάντα τά μοι πόρες· ὅττι γὰρ αὐτοῖς
Μύθους σοὺς παρέδωκα βιαρκέας. ἀσπάσιοι δὲ
Σὸν λόγον ἰθυντῆρι νόῳ δέξαντο καὶ αὐτοί,
Καὶ μάθον ὡς παρὰ σεῖο προήλυθον, ὑμέτερον δὲ
Μῦθον ἀσυλήτοισιν ἐπιστώσαντο μενοιναῖς,
Ὅττι σύ με προέηκας ἐπὶ χθόνα. νῦν χάριν αὐτῶν
Ἀπλανέων, οὐ παντὸς ἀλήμονος εἵνεκα κόσμου,
Ὦ πάτερ αἰτίζων σε διείρομαι· ἀμφὶ δὲ τούτων
Οὓς πόρες υἱεῖ σεῖο· τεοὶ πέλον. ἀμφότερον δέ,
Ὅσσα φέρεις, ἐμὰ πάντα· καὶ ἔμπαλιν ὅσσα κομίζω,
Πάντα σέθεν γεγάασιν. ἐγὼ δ' ἐνὶ τοῖσιν ἑταίροις
Συνδρομον εἰς χθόνα πᾶσαν ἔχω παλιναυξέα τιμήν.
Κόσμῳ δ' οἱ μὲν ἔασιν· ἐγὼ δ' ἄρα γαῖαν ἐάσας
Πρός σε πάτερ παλίνορσος ἐλεύσομαι· ἀλλὰ μαθητὰς
Ἡμετέρους σὺ φύλαξον ὁμόφρονας ἔκτοθεν αὐτῆς
Δαίμονος ἀντιπάλοιο προμαχιστῆρος ἱμάσθλης.
Ἁγνὲ πάτερ, σὺ φύλαξον ὁμόφρονας ἔκτοθεν αὐτῆς,
Πάντες ἓν ὄφρα πέλοιεν, ὁμόζυγες οἷά περ ἡμεῖς.
Ἀγχιφανὴς ὅτε τοῖσιν ὁμίλεον ἔνδοθι κόσμου,
Αὐτὸς ὅλους ἐφύλασσον ἀπήμονας· οὐδέ τις αὐτῶν
Οὓς πόρες υἱεῖ σοῦ, βροτέης σωτῆρι γενέθλης,
Ὤλετο δυσσεβίης σφαλερῷ δεδονημένος οἴστρῳ,
Εἰ μὴ δαιμονίου φθισήνορος υἱὸς ὀλέθρου,
Ὄφρα νόμου γραφικοῖο λόγος τετελεσμένος εἴη.
Νῦν δὲ πάτερ μετὰ γαῖαν ὑποστρέψας εἰς σὲ περήσω.
Καὶ τάδε σοι ξύμπαντα διήνυσα, ὄφρα κεν αἰεὶ
Ξυνὸν χάρμα φέροιεν ἐμοῖς τετελεσμένον ἔργοις.
Καὶ σφίσι θεῖον ὄπασσα τεὸν λόγον· ἀλλὰ μεγαίρων.

Αὐτὸς



Ex te quòd sunt omnia quæ mihi præbuisti: quia ipsis
Sermones tuos tradidi vitales. grati verò
Tuum verbum moderatrice mente susceperunt & ipsi,
Et didicerunt quòd à te processi, tuúmque
Sermonem firmis infixerunt animis,
Quòd tu me præmisisti in terram. nunc propter illos
Non errantes, non totum errantem propter mundum,
O pater à te peto & oro: sed pro his
Quos dedisti filio tuo: tui sunt. vtrumque autem,
Quæcunque habes, mea sunt omnia: & rursus quæ fero,
Omnia tua sunt. ego verò in sociis
Comitem in terra omnem habeo recrescentem gloriam.
In mundo illi quidem sunt: ego verò terra relicta
Ad te pater reuersus veniam: sed discipulos
Nostros tu custodi concordes ab ipsa
Dæmonis aduersarii propugnatoris scutica.
Sancte pater, tu custodi concordes ab ipsa,
Omnes vnum vt sint, compares sicuti nos,
Propinquus quando illis conuersabar in mundo,
Ipse omnes seruabam illæsos: neque aliquis ex his
Quos [mihi] dedisti filio tuo, humani saluatori generis,
Periit, impietatis fallaci agitatus œstro,
Nisi dæmonis exitiosi filius pestiferi,
Vt legis scriptæ sermo perfectus sit.
Nunc verò pater à terra reuersus ad te transibo.
Et hæc tibi omnia percurri vt semper
Commune gaudiũ ferant meis perfectum operibus.
Et ipsis diuinum præbui tuum sermonem: sed inuidens

Αὐτοὺς ἔστυγε κόσμος, ὅτι ζαθέου γενετῆρος
Γνήσιοι αἰθέρος εἰσί, νόθοι κόσμοιο πολῖται,
Ὡς καὶ ἐγὼ κόσμοιο πέλω ξένος. οὐ βροτέης
γὰρ
Εἰμὶ τελεσσιγάμοιο γονῆς χθονός· οὔ τινι
μύθῳ
Ὦ πάτερ αἰτίζω σε μετάτροπον ἐμὸν ἑταίρων
Ὄφρα μεταστήσειας ἀπείρονος ἐκ τόθι κόσμου,
Ἀλλ' ἵνα μιν βλεφάροισιν ἀκοιμήτοισι φυλάξῃς
Δαίμονος ἀρχεκάκοιο δυσαντήτων ἀπὸ θεσμῶν.
Σοῖς ζαθέοις ἐπέεσσιν ἐμοὺς ἁγίαζε μαθητάς,
Πάντας ἀληθείης νοερῆς ἀκτῖσι καθαίρων.
Ἀτρεκίη, σέο μῦθος. ὁμοζυγέων δ' ὑπὲρ αὐτῶν
Αὐτὸν ἐμὲ πρώτιστον ἐμῶν ἑτάρων ἁγιάζω,
Ὄφρα κε φαιδρύνοιντο τεῷ ζωαρκέϊ μύθῳ,
Καὶ καθαροὶ τελέθοιεν ἀληθείης ἁγιασμῷ,
Πνευματικῷ πυρὶ γυῖα λελουμένοι. οὐχ ὑπὲρ αὐτῶν
Μουνῶν ὑμετέρην δέχομαι χάριν, ἀμφὶ δὲ πάντων
Ὅσσοι λύσσαν ἄπιστον ἀπορρίψαντες ἀήταις,
Ὀρθὴν πίστιν ἔχουσιν ἐμῶν διὰ μῦθον ἑταί-
ρων,
Πάντες ἓν ὄφρα πέλοιεν, ὁμόζυγες οἷάπερ ἡμεῖς·
Ὡς ἐν ἐμοὶ τελέθεις, καὶ ἐγὼ πάτερ ἐν σοὶ ὑπάρχω,
Σύζυγες ἀλλήλοισιν ἀρηρότες, ὄφρα καὶ αὐτοὶ
Ἡμῖν πάντες ἔασιν ὁμόζυγες ἐκγεγαῶτες,
Κόσμος ἵνα γνοίη πολυμήχανος ὅττι με κόσμῳ
Ἀνδρομέης προέηκας ὅλης λυτῆρα γενέ-
θλης.
Καὶ σφίσι κῦδος ὅπασσα τό μοι πόρες, ὥς κεν ἐν ἡμῖν
Πάντες ὁμοζυγέες τετελεσμένοι ὦσι καὶ αὐτοὶ
Σύζυγες. ἓν μόνον ἐσμὲν ἐν ἀλλήλοισιν ἐόντες,
Ἡμῖν ὄφρα γένοιντο συνήλυδες ἐκγεγαῶτες·
Ὄφρα σὺ μὲν τελέθῃς ἐν ἐμοὶ πάτερ, ὄφρα καὶ αὐτὸς
Ξυνὸς ὅλοις ἑτάροισιν ἐγὼ πεφορημένος εἴην.

Κόσμος



Ipſos odit mundus, quia diuini parentis
Legitimi cœli ſunt, ſpurii mundi ciues,
Sicut & ego in mundo. ſum hoſpes. non humani
enim
Sum nuptias perficientis generis terreſtris: non ſer-
mone
O pater rogo te remotum cœtum ſociorum
Vt auferas infinito ex mundo,
Sed vt ipſum oculis vigilibus cuſtodias
Dæmonis malorum autoris auerſandis à legibus.
Tuis diuinis verbis meos ſanctifica diſcipulos,
Omnes veritatis intelligentibus radiis purgans,
Veritas tuus ſermo. coniunctis autem pro ipſis
Ipſum me primarium ex meis ſociis ſanctifico,
Vt mundentur tuo vitali verbo,
Et puri ſint veritatis ſanctificatione,
Spirituali igne membris loti. non pro ipſis
Solis tuam peto gratiam, ſed pro omnibus
Quicunque rabiem incredulam abiicientes ventis,
Rectam fidem habent meorum ob ſermonem ſo-
ciorum,
Omnes vnum vt ſint coniuncti ſicut nos,
Sicut in me es, & ego pater in te ſum,
Compares inuicem coagmentati, vt & ipſi
Nobiſcum omnes ſint coniuncti nati,
Mundus vt intelligat verſutus quòd me mundo
Humanæ præmiſeris totius redemptorem genera-
tionis.
Et ipſis gloriam præbui quã mihi dediſti, vt in nobis
Omnes coniuncti perfecti ſint & ipſi
Cõpares. vt vnum ſolum ſumus inuicem exiſtentes,
Nobis vt fiant ſocii prognati:
Vt tu quidem ſis in me pater, vt & ipſe
Communis omnibus ſociis ego adductus ſim.

Κόσμος ἵνα γνοίη βαρυκάρδιος ἴδμονι μύθῳ
Ὅτι σύ με προέηκας ἀρηγόνα μάρτυρι κόσμῳ,
Ἀνδρομέου βιότοιο λυτήριον· ὅτι καὶ αὐτοὺς
Ὥς τεὸν υἷα φίλησας, ἐμοὺς ἑτάρους ἀγαπάζων.
Βούλομαι οὓς παρέδωκας ἐμοὶ πάτερ, ὄφρα καὶ αὐτοὶ
Ἧχι πέλω μίμνωσιν, ἵνα βροτέῃσιν ὀπωπαῖς
Πάντες ἐσαθρήσωσιν ἐμὴν ὑψίθρονον ἀρχὴν,
Ἣν πόρες αὐτὸς ἐμοὶ, ὅτι με πάτερ ἀμφαγάπαζες
Πρὶν ζοφεροῦ κόσμου βαθύκολπα θέμεθλα γενέ-
σθαι.
Ἀνδρομέοιο δίκαιε πάτερ βιότοιο σαωτὴρ,
Οὔ σε πάτερ μάθε κόσμος· ἐγὼ δέ σε σύμφυτος
ἔγνων.
Καί σε σοφὸς χορὸς οὗτος ἐμῶν δεδάηκεν ἑταίρων
Ἤθεσιν εὐσεβέεσσιν, ὅτι σφίσιν ὄργια μύθων
Ὑμετέρων ἀνέφηνα· καὶ ἔμπαλιν εἰσέτι δείξω,
Ὄφρα σε γινώσκωσι πολὺ πλέον· ὥς κεν ἐν αὐτοῖς
Δεσμὸς ἐμῆς ἀγάπης, καὶ ἐγὼ πεφορημένος εἴην.
Ὣς φάμενος τάδε πάντα, διέστιχεν ἔμ- Κεφ. ιη.
φρονι ταρσῷ
Πέζαν ἐς ἀντιπέραιαν ἐϋπρέμνων ὅθι κέ-
δρων
Οἴδματι λυσσήεντι κυλίνδεται ὄμβρος ἀλήτης,
Οἰδαίνων θρασὺ χεῦμα χαραδραίου ποταμοῖο,
Ἀγχιφανὴς ὅθι κῆπος εὔχλοος· ὃν παραμείβων
Κοίρανος, ἔνδον ἵκανεν, ἐθήμονος οἷά τε βαίνων
Φυταλιὴν εὔοδμον ἀειθαλέος παραδεί-
σου.
Καὶ θρασὺς ᾔδεε κεῖνο φυτηκόμον ἄλλος
Ἰούδας,
Χριστὸς ὅτι σκιόεσσαν ἐρημάδα πέζαν ὁ-
δεύων,
Πολλάκι χῶρον ἐκεῖνον ἐπήλυθε· κεῖθι καὶ αὐτῷ
Σύννομος ἀγρομένων ηὐλίζετο λαὸς ἑταίρων.

Καὶ



Mundus vt cognoſcat excors ſcienti verbo [do,
Quòd tu me præmiſiſti defenſorem teſtificanti mun-
Humanæ vitæ liberatorem: quòd & ipſos
Vt tuum filium dilexiſti, meos ſocios diligens.
Volo quos dediſti mihi pater, vt & ipſi
Vbi ſum maneant, vt mortalibus oculis
Omnes aſpiciant meum ſublimem principatum,
Quem dediſti ipſe mihi. quia me pater dilexeras
Priuſquam caliginoſi mundi profunda fundamenta
fierent.
Humanæ iuſte pater vitæ ſaluator,
Non te pater nouit mundus : ego autem te congeni-
tus noui.
Et te ſapiens cœtus hic meorum didicit ſociorum
Moribus piis, quia ipſis myſteria verborum
Tuorum manifeſtaui: & rurſus amplius monſtrabo,
Vt te cognoſcant multo magis: vt in ipſis
Vinculum meæ dilectionis, & ego adductus ſim.
Sic loquutus hæc omnia, tranſi- Cap. XVIII.
uit prudenti pede
In terram è regione ſitam: pulchrorum ramorum vbi
ad cedros
AEſtu rabioſo voluitur imber errans,
Concitans impetuoſum fluxum torrentis fluuii:
Vicinus vbi hortus vireſcens: in quem progrediens
Dominus, ingreſſus eſt, conſueti tanquam vadens
In hortum bene odoratum ſemper vireſcentis pa-
radiſi.
Et audax nouerat illum locum plantis conſitum alius
Iudas,
Chriſtus quòd vmbroſam deſertam regionem per-
uadens,
Sæpius in locum illum introiit: ibi & ipſorum
Contubernalis collectorum manebat turba ſociorum.

Καὶ στρατὸν ἀσπιστῆρα δεδεγμένος ἀρχιερήων,
Καὶ πολὺν οἰστρήεντα παρ' ἀρχεκάκων Φαρι-
σαίων
Σύνδρομον ἄλλον ἔχων κορυνηφόρον ἑσμὸν ὁδί-
την
Ἤλυθεν ἀλλοπρόσαλλος ἐς ἤθαδα κῆπον Ἰούδας,
Τεύχεα καὶ λαμπτῆρας ἔχων· καὶ ὁμόστολος ἀνὴρ
Χερσὶ πολυσπερέεσσι μετάρσιος ἄλλος ἐπ' ἄλλῳ
Λύχνων ἐνδομύχων ἀνεμοσκεπὲς ἄλσος ἀεί-
ρων,
Ἄλσος ὅπερ δονάκεσσιν ἀμοιβαίοισι συνάπτων
Πυκνὰ μεριζομένοισι γέρων κυκλώσατο τέκτων,
Ἀστέρι μίμημα, καὶ εἴκελον ὀξέϊ κόσμῳ.
Μεσσοφανὴς ὅθι λύχνος ὁμοζυγέος διὰ κόλ-
που
Ὀξὺ φάος πολυωπὸν ὑπὸ σκέπας ἔκτοθι πέμπων,
Ἀκροφανὲς σελάγιζε πολυσχιδὲς ἁλλόμενον
φῶς.
Ἰησοῦς δ' ἀδίδακτος ἰδὼν μέλλουσαν ἀνάγ-
κην,
Ἄτρομος αὐτοκέλευστος ἀνέδραμε, κῆπον ἐάσας.
Καὶ στρατιὴν ἐρέεινε σακέσπαλον ὀξέϊ μύ-
θῳ,
Ποῖον ἀνιχνεύοντες ἱκάνετε φῶτα πιέζειν;
Ἰησοῦ δ' ἀπάμειπτο ξιφηφόρος στρατὸς ἀνδρῶν,
Ναζαρὲθ ναέτην διζήμεθα πάντες Ἰησοῦν.
Καὶ θρασὺς ἀντιβίοισι παρίστατο πομπὸς Ἰούδας,
Ὅς μιν ἀφαυροτάτοιο μινυνθαδίου χάριν ἔργου
Υἷα θεοῦ παρέδωκεν, ἀτέρμονος ἐλπίδα κόσμου,
Υἷα θεοῦ παρέδωκε. Καὶ ὡς ἐφθέγξατο λαῷ
Ἁβροχίτων, ἀσίδηρος ἄναξ ῥηξήνορι φωνῇ,
Πάντες ἐπ' ἀλλήλοισι μαχήμονες ἀσπιδιῶται
Αὐτόματοι πίπτοντες, ἐπεστόρνυντο κονίῃ,
Πρηνέες, οἰστρηθέντες ἀτευχέϊ λαίλαπι φωνῆς.

Ἰησοῦς



Et exercitum scutatum accipiens pontificum,
Et multum furentem ab autoribus malorum Phari-
sæis
Concurrentem alium habens clauigerum cœtum
viatorem
Venit mutabilis in consuetum hortum Iudas,
Arma & faces habens: & simul missus vir
Manibus multum diuisis sublimis alius super alium
Luminum intus latentium ventum arcentem lucum
attollens,
Lucum quem arundinibus alternis coniungens
Crebrò diuisis senex circundedit structor,
Astri instar, & similem volubili mundo.
In medio apparens vbi lychnus coniunctum per si-
num
Acutum lumen multifore operculum extrà mittens,
In summo apparens splendebat variè diuisum saliens
lumen.
Iesus verò non ab alio edoctus videns venturam ne-
cessitatem,
Intrepidus sponte accurrit, hortum relinquens.
Et exercitum interrogauit scutum quatientem acuto
sermone,
Qualem inuestigantes venitis virum capere?
Iesu verò respondit ensiferorum exercitus virorum,
Nazareth habitatorem quærimus omnes Iesum.
Et audax hostibus astetit dux Iudas,
Qui ipsum vilissimi temporalis causa lucri
Filium Dei tradidit, infiniti spem mundi,
Filium Dei tradidit. Et quum responderet populo
Molliter vestitus, ferro carens Rex bellicosa voce,
Omnes super se inuicem pugnaces bellatores
Sponte cadentes, prosternebantur in puluerem,
Proni, stimulati inermi procella vocis.

Iesus

Ἰησοῦς δ' ἐρέεινε τὸ δεύτερον ἔμφρονι μύθῳ,
Ποῖον ὁμηγυρέες μαστεύετε φῶτα πιέζειν;
Δυσμενέες δ' ἰάχησαν ἀμοιβαίῳ τινὶ μύθῳ,
Ναζαρὲθ ναέτην διζήμεθα Χριστὸν Ἰησοῦν.
Ἰησοῦς δ' ἀγόρευεν ἀδειμάντῳ τινὶ φωνῇ,
Ναζαρὲθ ναέτης τελέθω Γαλιλαῖος Ἰησοῦς,
Ἰησοῦς Γαλιλαῖος ἐγὼ πέλον. εἰ δ' ἐμὲ μοῦνον
Ἤλθετε μαστεύοντες, ὑπότροπον οἴκαδε βαίνειν
Τοῦτον ἐμῶν ἄψαυστον ἐάσατε λαὸν ἑταίρων.
Ὄφρα κεν ἀστυφέλικτον ἔπος τετελεσμένον εἴη,
Χριστὸς ὅπερ πάρος εἶπεν ἑῷ ζώοντι τοκῆϊ,
Τούτων οὐδὲν ὄλωλα τά μοι πόρες. ἀγχιφανὴς δὲ
Σίμων ἄορ ἔχων, θρασὺς ἔσπασεν· ἄνδρα δὲ νύξας
Λάτριν ἀμαιμακέτοιο διάκτορον ἀρχιερῆος,
Δεξιὸν οὖας ἔταμνεν ἀοσσητῆρι σιδήρῳ·
Καὶ ξίφει πληγέντος ὀπάονος οὔνομα Μάλχου.
Ἰησοῦς δ' ἀνέκοψε φιλήτορα Πέτρον ἰωῇ,
Λῆγε χόλου, κολεῷ τε τίθει ξίφος. ἡμετέρου δὲ
Οὐ πίομαι γενέταο φίλον δέπας ἡδέϊ θυμῷ,
Αὐτὸς ὅπερ μοὶ ὄπασσε; φύλαξ δ' ἱεροῖο μελάθρου,
Χιλιάδος ζαθέης στρατιῆς πρόμος, ἀλλὰ καὶ αὐτὸς
Σὺν προμάχῳ δασπλῆτι φερεσσακέων στρατὸς ἀνδρῶν,
Χριστὸν ἐπισφίγξαντες ἀμεμφέα νηλέϊ δεσμῷ,
Ἑσπερίην ἄβοητον ἐποιήσαντο πορείην,
Ἄννα Χριστὸν ἄγοντες ἐς οἰκίον ἀρχιερῆος.
Καϊάφα γὰρ ἔην ἑκυρὸς θρασύς, ὃς πέλε κείνου
Ἀρχιερεὺς λυκάβαντος, ὃς Ἑβραίῳ ποτὲ λαῷ
Ζῆλον ἔχων Χριστοῖο, θεημάχον ἴαχε φωνήν,
Καλὸν ὑπὲρ λαοῖο θανεῖν ἕνα· μὴ φθόνος ἕρπων,





Ieſus verò interrogauit ſecundariò prudenti ſermone,
Qualem congregati quæritis virum capere?
Hoſtes verò ſonuerunt reſponſiuo quodam ſermone,
Nazareth habitatoré quærimus Chriſtum Ieſum.
Ieſus verò dixit intrepida quadam voce,
Nazareth habitator ſum Galilæus Ieſus,
Ieſus Galilæus ego ſum. ſi verò me ſolùm
Veniſtis quærentes,redeuntem domum ire
Hunc m eorum intactum ſinite populum ſociorum.
Vt immotum verbum perficeretur,
Chriſtus quod antè dixit ſub viuenti patri,
Horum nihil perdidi quæ mihi dediſti.vicinus autē
Simon gladium habens, audax eduxit: virúmque percutiens
Seruum impetuoſi miniſtrantem pontificis,
Dextram eius aurem abſcidit adiutore ferro:
Et gladio percuſſi ſerui nomen Malchus.
Ieſus autem repreſſit amante Petrum voce,
Ceſſa ab ira,in vaginam autem pone gladium. noſtri enim
Non bibam patris charum poculum lubenti animo,
Ipſe quod mihi dedit? Cuſtos autem ſacri templi,
Milleni eximii exercitus primus bellator, ſed & ipſe
Cum anteſignano graui ſcutiferorum exercitus virorum,
Chriſtum conſtringentes inculpatum ſæuo vinculo,
Serotinum tacitum fecerunt iter,
Annæ Chriſtum ducentes in domum Pontificis.
Caiaphæ enim erat ſocer audax,qui erat illius
Pontifex anni,qui Hebræo quondam populo
Zelum habens contra Chriſtum, Deo aduerſariam ſonuit vocem,
Bonum eſt pro populo mori vnum: ne inuidia re-[pens,

Ἑβραίων ὅλον ἔθνος ἑνὸς χάριν ἀνδρὸς ὀ-
λέσσῃ.
Ἰησοῦν δὲ φέροντες ἐπέρρεον ἀσπιδιῶται.
Καί οἱ ὀπισθοκέλευθος ὁμάρτεε τηλόθι Σίμων,
Καὶ νέος ἄλλος ἑταῖρος, ὃς ἰχθυβόλου παρὰ τέχνης
Γνωστὸς ἐὼν ἀρίδηλος ἐθήμονος ἀρχιερῆος,
Χριστῷ συνδρομος ἦλθεν ἔσω θεοδέγμονος αὐλῆς.
Καὶ βραδὺς αὐτόθι Πέτρος ἐλείπετο νόσφι θυράων.
Χριστοῦ δ᾽ ἄλλος ἑταῖρος ὑπωρόφιον γόνυ
πάλλων,
Ἔνθορεν ἐκ μεγάροιο, καὶ ἀμφιπόλῳ πυλαωρῷ
Εἶπε, καὶ ἤγαγε Πέτρον ἔσω πολυχανδέος αὐλῆς,
Χειρὸς ἔχων. καὶ δμωὶς ἐπεσβόλος ὄμματι
λοξῷ
Δερκομένη πυλαωρὸς, ἀνίαχε γείτονι Πέτρῳ
Τοῖον ἔπος, Μὴ καὶ σὺ πέλεις Χριστοῖο μαθητής;
Σίμων δ᾽ ἀντιάχησε φόβου σημάντορι φωνῇ,
Ὦ γύναι, οὐ Χριστοῖο συνέμπορός εἰμι μαθητής.
Συμμιγέες δ᾽ ἵσταντο διάκτορες ἀρχιερῆος,
Θῆτες ὁμοῦ καὶ δμῶες. ἐθερμαίνοντο δὲ κύκλῳ
Ἀνθρακιὴν στορέσαντες. ὑπὸ σπινθῆρι δὲ λεπτῷ
Πυρσὸν ἄναπτον ἔχουσα μαραίνετο φειδομένη φλόξ.
Νὺξ γὰρ ἔην σκοτίη, δυσπέμφελος· ἑσπέριοι
δὲ
Γαῖαν ἀποψύχοντες ἀνερρίπιζον ἀῆται,
Δμῶες ὅθεν θάλποντο φίλῳ πυρί. καὶ μέσος
αὐτῶν
Ἄψοφος ἵστατο Πέτρος, ἔχων ἄγνωστον ὀπωπήν.
Ἰησοῦν δ᾽ ἐρέεινε θυηπόλος ὀξέϊ μύθῳ
Ἄννας εὐρυγένειος, ἐθήμονι χειρὸς ἐρωῇ
Ἄπλοκον ἀμφαφόων κεχαλασμένον ἄκρον
ὑπήνης,
Ἀμφὶ σοφῶν ἑτάρων οὓς κοίρανος εἶχε μα-
θητάς,



Iudæorum totam gentem propter vnum virum per-
dat.
Iesum autem ducentes affluxerunt bellatores.
Et eum à tergo sequebatur procul Simon,
Et iuuenis alius socius, qui piscatoris ex arte
Cognitus existens manifestus consueto pontifici,
Christo comes venit in Deum recipientem aulam.
Et tardus ibi Petrus relinquebatur extra ianuam.
Christi verò alius discipulus domesticum genu vi-
brans,
Prosiliit è domo, & ministræ ianitrici
Loquutus est, & duxit Petrum intra capacem aulam,
Manu tenens: & famula conuitiatrix oculo obli-
quo
Videns ianitrix, dixit vicino Petro
Tale verbum, Num & tu es Christi discipulus?
Simon verò respondit metus indice voce,
O mulier, non Christi comes sum discipulus.
Promiscui verò steterunt ministri pontificis,
Operarii simul & ministri. calefiebant autem circulo
Prunas sternentes. sub scintilla autem tenui
Ignem accensum habens conciderat parca flamma.
Nox enim erat obscura tempestuosa: vespertini au-
tem
Terram refrigerantes perflabant venti,
Famuli vnde calefiebant charo igne. & medius inter
ipsos
Tacitus stetit Petrus, habens incognitam faciem.
Iesum autem interrogauit sacrificus acuto sermone
Annas amplæ generationis, consueto manus motu
Non complexum contrectans relaxatum summum
barbæ,
De sapientibus sociis quos Dominus haberet disci-
pulos,

Καὶ διδαχῆς ὁσίης· βριαρῷ δ' ἀντίαχε μύθῳ
Ἰησοῦς ἀδόνητος, Ἐγὼ φιλοπευθέϊ κόσμῳ
Ἀμφαδίην ὀάριζον ἐν εὐαγέεσσι μελάθροις,
Αὐταῖς ἐν τριόδοισι, θεοκλήτῳ τ' ἐνὶ νηῷ,
Ἧχι πολυσπερέων αὐλίζεται ἔθνεα λαῶν,
Οὐδὲν ὑποκρύφιον λαλέων ληΐστορι μύθῳ
Δειμαλέῳ· τί με ταῦτα διείρεαι; ἠνίδε κύκλῳ
Οὗτοι πάντες ἔασιν ἐμῆς ἐπιμάρτυρες αὐδῆς·
Πάντες ἐμῶν δεδάασι νοήματα ποικίλα μύθων,
Ὅσσα παρ' Ἑβραίοις ἐφάμην θεοπειθέϊ λαῷ.
Ταῦτα δὲ οἱ λαλέοντι διάκτορος ἄγριος ἀνὴρ
Τολμηρῇ παλάμῃ ζαθέην ἐπάταξε παρειήν,
Τῆδ' (ἐνέπων) μέγαλον σὺ ἀμείβεαι ἀρχιερῆα;
Ἰησοῦς δ' ἀγόρευε, κανύτριχα λάτριν ἐλέγχων,
Εἰ θρασὺς ὡμίλησα κακῶς ἀεσίφρονι μύθῳ,
Μάρτυρος ἔσσο κακοῖο τεῇ νεμεσήμονι φωνῇ·
Εἰ δὲ καλῶς κατέλεξα, τί με πληγῇσι δαμάζεις;
Ἄννας μὲν φονίης πεφυλαγμένον ἐς λίνον
ἄγρης
Χεῖρας ὀπισθοτόνῳ πεπεδηκότα διζυγι δε-
σμῷ
Ἰησοῦν προέηκεν ἑῷ λυσσώδεϊ γαμβρῷ
Ἀρχιερεὺς, ἑτάρῳ πεφορημένον ἀρχιερῆϊ.
Σίμων δ' ἐσχαρεῶνι παριστάμενος καὶ ἀνιάων,
Ψυχρὸν ἐπ' ἀνθρακόεντι δέμας θερμαίνετο
πυρσῷ.
Θαλπόμενον δ' ἐρέεινον ὀπάονες ἀρχιερῆος
Ἀλλοφανῆ Σίμωνα νεήλυδα, Μὴ σὺ καὶ αὐ-
τὸς
Ἐξ ἑτάρων Χριστοῖο πέλεις; καὶ ἀμοιβάδι φωνῇ
Δμώων πευθομένων ἠρνήσατο Πέτρος ἀκούων,
Οὐ Χριστοῦ γενόμην, ἐνέπων ψευδήμονι μύθῳ.
Καὶ θεράπων ἱερῆος ἀμείβετο, Πέτρον ἐλέγ-
χων,

Νυκτιπόλου



Et de doctrina sancta: torti verò respondit sermone
Iesus immotus, Ego sciscitanti mundo
Apertè loquutus sum in puris domibus,
Ipsis in triuiis, & in quo Deus inuocatur templo,
Vbi variorum morantur generationes populorum,
Nihil occultatum loquens deprædatore sermone
Timido: quid me hæc interrogas? ecce circumquaque
Hi omnes sunt meæ testes vocis:
Omnes meorum norunt cogitata varia sermonum,
Quæcunque apud Iudæos dixi Deo credenti populo.
Hæc verò eo loquente, minister agrestis vir
Audaci manu diuinam percussit malam,
Sic (dicens) magno tu respondes pontifici?
Iesus autem dixit, comatum famulum redarguens,
Si audax colloquutus sum malè dementi sermone,
Testis sis mali tua vindice voce:
Si verò bene dixi, quid me verberibus domas?
Annas quidem homicidialis custoditum fune ca-
pturæ
Manus ad posteriora trahente ligatum duplici vin-
culo
Iesum præmisit ad suum rabiosum generum
Pontifex, socio adductum pontifici.
Simon autem foco astans & mœrens,
Frigidum ex carbonibus facto corpus calefaciebat
igne.
Calefactum verò interrogabant ministri pontificis
Alienum Simonem nuper aduenientem, Num tu &
ipse
Ex sociis Christi es? Et responsiua voce
Famulis sciscitantibus negauit Petrus vocatus,
Non Christi sum, dicens mendaci sermone.
Et famulus sacerdotis respondit, Petrum redar-
guens,

Noctiuagi

Νυκτιπόλου θεράποντος ὁμόγνιος οὗ ποτε Σίμων
Δεξιὸν οὖας ἔταμνε παρήορον, ἄορι νύ-
ξας,
Οὐ σὺ πέλεις Χριστοῖο διάκτορος; οὔ σε μετ' αὐτοῦ
Εἶδον δενδρώεντος ἐμέσσον ἔνδοθι κήπου;
Καὶ τριτάτῃ παλίνορσος ἐθήμονι Πέτρος ἰωῇ
Ἰησοῦν ἀπέειπε, καὶ ἔκραγεν εὐθὺς ἀλέκτωρ.
Καϊάφα δὲ μέλαθρα κατήγορος ἑσμὸς ἐάσας,
Εἰς δόμον αὐχήεντος ἐκώμασεν ἡγεμονῆος,
Ἰησοῦν ἐθέλοντα φερέσβιον εἰς μόρον ἕλκων.
Ἦμος δ' ἀμβροσίης νυκτὸς σκοτόεσσαν ὀμίχλην
Φέγγος ἀπειρέσιον κέδασε ῥοδόπηχυς
ἠώς·
Οὐδὲ μὲν ἔνδον ἔβαινε πολυκλείστοιο μελάθρου
Ποσσὶ φυλασσομένοισιν, ὅπως μὴ γυῖα μιήνῃ
Πάσχα φαγεῖν ἐθέλων καθαρῷ χροΐ· τηλόθι δ'
ἔστη
Νήπιος, ἀγνώσσων ὅτι τηλίκον ἐς φόνον ἕρπων,
Ἁγνὸν ἀλεξικάκων ἐφυλάσσετο δῶμα θεμίστων.
Καὶ Πιλάτος ταχυεργὸς ἑῆς ἐξήλασεν αὐλῆς·
Νηοπόλους δ' ἐρέεινεν ὀφειλομένῳ τινὶ θε-
σμῷ,
Μῦθον ἀπιπτίζων φονίης ἐπιμάρτυρα φωνῆς,
Ποῖον ἔπος φθέγγεσθε κατήγορον ἀνέρι
τούτῳ;
Τίς πρόφασις θανάτοιο; τί τηλίκον ἤλιτεν ἀνήρ;
Ποῖον ἔπος φθέγγεσθε, κατήγορον ἀνδρὸς ὀλέθρου;
Καὶ φθονεροῖς στομάτεσσιν ἀΐαχον ἀρχιερῆες,
Εἰ μὴ ἔην τελέσας ἄφατον κακὸν, οὐκ ἂν ἀνάγκῃ
Εἵλκομεν εἰς σὲ φέροντες ἀναίτιον ἄνδρα δαμάσσαι,
Χειρὶ τεῇ παραδόντες. Ὁ δὲ, φθόνον ὀξὺ νοή-
σας,
Χριστὸν ἀνακρίνειν ἀπεπείσατο μάρτυρι μύθῳ,
Ὑμεῖς τοῦτον ἕλεσθε· θεμιστοπόλοιο δὲ βίβλου





Noctiuagi ministri consanguineus cuius Simon
Dextram aurem resecuit protensam, gladio percu-
tiens,
Non tu es Christi minister? nonne te cum ipso
Vidi ego arboribus consito cohabitantem in horto?
Et tertia reciprocus consueta Petrus voce
Iesum abnegauit, & clamauit statim gallus.
Caiaphæ autem domum accusans cœtus relinquens,
Ad domum elati accessit præsidis,
Iesum volentem vitam ferentē ad mortem trahens.
Tunc verò diuinæ noctis vmbrosam caliginem
Lux immensum dissipauit roseis vlnis præditæ au-
roræ:
Non quidem intrà ingressus est resonantem domum
Pedibus cautis, ne membra inquinet,
Pascha comedere volens puro corpore: procul verò
stetit
Fatuus, putans quòd tantam ad cædem repens,
Puram mala pellentium custodisset domum legum.
Et Pilatus promptus sua eduxit aula:
Sacerdotes autem interrogauit debita quadam
lege,
Sermonem inquirens homicidialis testem vocis,
Quale verbum loquimini accusans contra virum
hunc?
Quæ causa mortis? quid tam magnum peccauit vir?
Qualem sermonē dicitis, accusantem virum mortis?
Et inuido ore responderunt pontifices,
Nisi fecisset ineffabile malum, non sanè violentia
Traxissemus ad te ferentes insontē virum domare,
Manui tuæ tradentes. Ille verò inuidiam celeriter in-
telligens,
Christum iudicare renuit testificante sermone,
Vos hunc accipite: sacrifici autem libri

Κρίνατε πατρῴοισι νόμοις, καὶ ἐθήμονι ποινῇ.
Καὶ θρασὺς ἑσμὸς ἔειπε, Κατακτείνειν τινὰ φω-
τῶν
Ἡμῖν οὐ θέμις ἐστίν. ὅπως ἔπος ἔμπεδον εἴη
Χριστὸς ὅπερ κατέλεξε, προθεσπίζων τίνι πότμῳ,
Μέλλε θανεῖν. Πιλάτος δὲ δολοπλόκον ἑσμὸν ἐάσας
Ἀγχίθυρον, παλίνορσος ἐδύσατο θέσμιον αὐλήν·
Ἰησοῦν δ' ἐκάλεσσε, καὶ εἴρετο μάρτυρι φωνῇ,
Αὐτὸς Ἰουδαίων βασιλεὺς πέλες; Εἰρομένῳ δὲ
Εἴκελος ἀγνώσσοντι θεηγόρος εἶπεν Ἰησοῦς,
Εἴρετο γινώσκων ζαθέῃ φρενί, Τοῦτο πιφαύσκεις
Αὐτόματος, σκηπτοῦχον Ἰουδαίων με καλέσσας,
Ἢ ἔστι ἄλλος ἔειπε; Καὶ ἴαχεν ὄρχαμος ἀνήρ,
Μὴ γὰρ Ἰουδαῖος κἀγὼ πέλον; ὑμέτερον δὲ
Ἔθνος, ἵνα κρίνω σε, καὶ ἀνέρες ἀρχιερῆες
Αὐτοὶ ἐμοὶ παρέδωκαν ἀναιδέες· εἰπὲ καὶ αὐτὸς,
Ἔργον ποῖον ἔρεξας. Ἄναξ δ' ἀντίαχε μύθῳ,
Οὐ χθονίη τελέθει τις ἐμὴ βασιλήιος αὐλή,
Οὐ πέλον ἐκ κόσμου μινυώρεος. ἡμετέρη γὰρ
Εἰ πέλε κοιρανίη γαιήιος, εἰ πέλε κόσμου,
Καί κεν ἐμοὶ δρηστῆρες ἐνόπλιον εἶχον ἀγῶνα,
Ὄφρα μὴ Ἑβραίοις μεταχείριος ἔκδοτος εἴην·
Νῦν δέ μοι οὐκ ἐντεῦθεν ἔην βασιλήιος ἀρχή.
Καὶ Πιλάτος πάλιν εἶπεν ἀμοιβαίῃ τινὶ φωνῇ,
Ἦ ῥά νυ κοίρανός ἐσσι; Καὶ ἀντιάχησεν Ἰησοῦς,
Καὶ γενόμην εἰς τοῦτο καὶ ἤλυθον, ὄφρα κεν αἰεὶ
Μάρτυς ἐτητυμίης πανθελγέος ἀνδράσιν εἴην·
Καὶ πᾶς ὃς προβέβουλεν ἀληθείης ζυγὸν ἕλκειν,
Γλώσσης ἡμετέρης ἀψευδέα μῦθον ἀκούει.
Καὶ Πιλάτος θάμβησε, καὶ ἔμπαλιν εἴρετο μύθῳ·
Ἀτρεκίη τί πέλει; καὶ ἑὸν θρόνον ὀξὺς ἐά-
σας,
Δώματος ἐκτὸς ἔβαινε, καὶ ἔννεπεν ἄφρονι λαῷ,
Νηοπόλους δ' ἤλεγξεν ἑῷ πολυειδέϊ μύθῳ,





Iudicate paternis legibus, & consueta pœna.
Et audax cœtus dixit, Interficere aliquem ex homi-
nibus
Nobis non fas est. vt sermo firmus esset
Christus quem dixit, prædicens qua morte
Moriturus esset. Pilatus autem, versuto cœtu relicto
Ad fores, reciprocus subiit consuetam aulam,
Iesúmque vocauit, & interrogauit testificante voce,
Ipse Iudæorum rex es? Interroganti autem,
Similis nescienti diuiniloquus dixit Iesus,
Interrogauit cognoscens diuina mente, Hoc dicis
A te ipso, sceptriferum Iudæorum me vocans,
Vel tibi alius dixit? Et sonuit princeps vir,
Num Iudæus ego sum? tua quidem
Gens, vt iudicem te, & viri pontifices
Ipsi mihi tradiderunt impudentes: dic & ipse,
Opus quale fecisti. Rex verò respondit sermone,
Non terrestris est aliqua mea regia aula,
Non sum ego ex mundo temporali. nostrum enim
Si esset imperium terrestre, si esset mundanum,
Vtique mei ministri armatum haberent certamen,
Ne Iudæis manibus tractatus traderer:
Nunc verò mihi non hinc est regium imperium.
Et Pilatus rursus dixit responsiua quadam voce,
Igitur rex es? Et respondit Iesus,
Et natus sum ad hoc & veni, vt semper
Testis veritatis omnia demulcentis viris sim:
Et omnis qui præoptat veritatis iugum trahere,
Linguæ nostræ verum sermonem audit.
Et Pilatus stupuit, & rursus interrogauit verbo,
Veritas quid est? suúmque thronum celeriter relin-
quens
Extra domum iuit, & dixit insipienti populo,
Et sacerdotes reprehendit suo multiscio sermone,

Κρίνας, αἴτιον οὐδὲν ἐν ἀνέρι τῷδε δοκεύω·
Οὐ πρόφασιν μίαν εὗρον ἐπήβολον. ἀρχέγονον δὲ
Ὑμῖν πάτριόν ἐστιν ἐπέτειον, ὄφρα κεν ὑμῖν
Ἐκ φυλακῆς καλέσας ἕνα δέσμιον ἀνέρα λύσω·
Ἦ ῥα νόμοι βούλεσθε παλίλλυτον ὑμῖν ὀπάσσω
Σφιγγόμενον δεσμοῖσιν Ἰουδαίων βασιλῆα;
Ἑβραῖοι δ᾽ ἀλάλαξαν ἀπείριτα σύνθροον
ἠχὼ
Φθεγγόμενοι, Μὴ τοῦτον ὃν ἔννεπες, ἀλλὰ Βαραββᾶν,
(Ὃς πέλε ληϊστὴρ θανατηφόρος) Αἰνο- Κεφ. ιθ.
μανὴ δὲ
Ὄρχαμος ἀφραδέων στομάτων ἀλαλητὸν ἀκούων,
Ληϊστὴν ἀδάμαστον, ἀδέσμιον ἄπασε λαῷ,
Καὶ ῥοπάλοις ἀχάρακτον· ἀμοιβαίῃσι δὲ ῥι-
παῖς
Ῥιγεδανῇ Χριστοῖο δέμας φοίνιξεν ἱμάσθλῃ.
Καὶ στρατὸς ἀντιβίων φιλοκέρτομος εἶχεν
Ἰησοῦν·
Ὀξυτόμου δὲ κόρυμβα περιπλέξαντες ἀκάνθης
Στέμμα νόθον βασιλῆος ἐκυκλώσαντο καρήνῳ.
Καί μιν ἀνεχλαίνωσαν ἐπὶ χροῒ πέπλα βαλόντες
Σιδονίης στίλβοντα σοφῷ σπινθῆρι θαλάσσης·
Σύμβολα κοιρανίης καὶ ἐν ἄλγεσιν. ἀμφιπαγῆ δὲ
Γούνατα δοχμώσαντες ἐπὶ χθονὸς αὐχένι κυρτῷ,
Κοίρανον ἠσπάζοντο ἐνὶ ψευδήμονι κλήσει,
Ἱκεσίης κήρυκι· καὶ ᾔιεν ἄλλος ἐπ᾽ ἄλλῳ,
Χερσὶν ἀμοιβαίῃσι παρηΐδος ἄκρον ἀράσσων.
Καὶ Πιλᾶτος ταχύμητις ἀνέδραμε δώματος ἔξω
Ποσσὶ παλιννόστοισι, καὶ ἴαχεν ἄφρονι λαῷ,
Ἔκτοθεν ἀνέρα τοῦτον ἐς ὑμέας ἄρτι κομίζω.
Ὄφρα δὲ γιγνώσκητε, νοοπλανὲς οὐδὲν ἐν αὐτῷ
Εὗρον ἐγώ, πραπίδεσσιν ἀμωμήτοισι δικάζων.
Ἀχράντοις δὲ πόδεσσι διέστιχε νόσφι μελά-
θρου,

Καὶ



Iudicans, cauſam nullam in viro hoc video:
Non occaſionem vllam inueni certam. priſcum verò
vobis patrium eſt anniuerſarium, vt vobis
E carcere vocans vnum vinctum virum ſoluam,
Num igitur vultis rurſus ſolutum vobis præbeam
Constrictum vinculis Iudæorum regem?
Iudæi verò vociferabantur, infinitum concordem
ſonum
Clamantes, Non hunc quem dixiſti, ſed Barrabam,
(Qui erat latro lethifer) Inſanien- Cap. XIX.
tem verò
Princeps inſipientium orum clamorem audiens,
Prædonem loro non cæſum, non vinctum præbuit
populo,
Et claua non ſignatum: alternantibus autē ictibus
Horrens Christi corpus rubefecerat flagello.
Et exercitus hoſtilis conuitiis gaudens tenebat Ie-
ſum:
Acutè ſecantis autem ramum circumplicans ſpinæ
Coronam ſpuriam Regis impoſuit capiti.
Et ipſum veſtiebant corpus pallio circumdantes,
Sidonii fulgente ſapiente ſcintilla maris:
Notæ principatus etiam in doloribus. ſolida verò
Genua flectentes in terram ceruice curua,
Regem ſalutarunt mendaci appellatione,
Supplicationis præcone: & iuit alius poſt alium,
Manibus alternantibus maxillæ ſummum pulſans.
Et Pilatus celeris conſilii accurrit extra domum
Pedibus reciprocis, & ſonuit inſipienti populo,
Exterius virum hunc ad vos iam duco.
Vt autem cognoſcatis, mentis erratum nullum in ipſo
Inueni ego præcordiis irreprehenſibilibus iudicans.
Incontaminatis autem pedibus incedebat extra do-
mum,

Καὶ στέφος ὀξυέθειρον ἐμπλοκον εἶχεν ἀκάν-
θης,
Πορφυρέην τ᾿ ἐσθῆτα διάβροχον αἵματι κόχλου.
Καὶ Πιλάτος κατέλεξε πάλιν ζηλήμονι λαῷ,
Ἠνίδε, ποικιλόνωτος ἀναίτιος ἵσταται ἀνήρ.
Καί μιν ἐσαθρήσαντες ἀθέσμιοι ἀρχιερῆες,
Καὶ βλοσυροὶ δρηστῆρες, ἐπέβρεμον ἄσπετον
ἠχώ,
Σταυρῷ σύμπλοκος οὗτος, ἐπήορος ὄρθιος ἔστω,
Καὶ ποσὶ καὶ παλάμῃσι σιδήρεα κέντρα κομίζων.
Καὶ Πιλάτος λαοῖσιν ἐχέφρονα ῥήξατο φωνήν,
Ὑμεῖς τετραπόρῳ σφηκώσατε τοῦτον ὀλέθρῳ.
Οὐ γὰρ ἐγὼ θανάτου πρόφασιν μίαν εὗρον ἐν αὐτῷ.
Καὶ Πιλάτῳ φθέγξαντο μεμηνότες ἀρχιερῆες,
Πάτριος Ἑβραίοις φέρεται νόμος, ὅν ποτε βίβλῳ
Θεσμοθέται γράψαντο, καὶ οἷά τε θεσμὸς ἀνώγει,
Οὗτος ἀνὴρ ὤφειλε θανεῖν ποινήτορι πότμῳ,
Εἵνεκα δυσσεβίης, ὅτι θέσκελον αὐτὸς ἑαυτὸν
Υἱὸν ἀειζώοιο θεοῦ κικλήσκε τοκῆος.
Καὶ σοφὸς ὡς κλύε τοῦτο δικασπόλος ἔτρεμεν ἀνήρ.
Σπερχομένοις δὲ πόδεσσιν ἐδύσατο πανδόκον αὐλήν.
Ἰησοῦν δ᾿ ἐρέεινε τὸ δεύτερον ἠθάδι μύθῳ,
Τίς τελέθεις; πόθεν εἶ σύ; Κατηπιόων δ᾿ ἐπὶ γαίῃ
Κοίρανος ὄμματα πῆξε, καὶ οὐ Πιλάτῳ στόμα λύσας,
Ἀντίδοτον μύθοισιν ἀμοιβαίην πόρε φωνήν.
Καὶ Πιλάτος βαρύμηνιν ἀπεβρόμβησεν
ἰωήν,
Οὔ με τεοῖς ἐπέεσσιν ἀμείβεαι; οὐδέ πω ἔγνως
Ὅττι κεν εἰς σὲ φέρω δίδυμον κράτος; ἀμφό-
τερον γάρ,
Καὶ σταυρῷ δαμάσαιμι, καί, ἢν ἐθέλω, σε μεθήσω.
Καί οἱ Χριστὸς ἔλεξεν, ἀγήνορα κόμπον ἐλέγχων,
Οὐδεμίαν μεθέπεις αὐτάγρετον εἰς ἐμὲ τιμήν,
Εἰ μὴ ἄνωθεν ἦεν κεχαρισμένον. οὗ χάριν ἀνὴρ

Ὅς με



Et coronam acutos capillos habentem complicatam
habebat spinæ,
Purpuream & vestem, irriguam sanguine muricis.
Et Pilatus dixit iterum inuido populo,
Ecce, varium dorsum habens insons astat vir.
Et ipsum aspicientes iniqui pontifices,
Et truculenti ministri, fremuerunt immensum so-
num,
Cruci affixus hic, sublimis erectus sit,
Et pedibus & manibus ferreos stimulos ferens.
Et Pilatus populo prudentem dixit vocem,
Vos quadrifore torquete hunc exitio.
Non enim ego mortis causam vllam inueni in ipso.
Et Pilato dixerunt furentes pontifices,
Hæreditaria Iudæis fertur lex, quam in libro
Legiferi scripserunt: & sicut sanctio iubet,
Hic vir debet mori vindice morte,
Propter impietatem, quòd diuinum ipse seipsum
Filium semper viuentis Dei vocauit patris.
Et sapiens quum audiret hoc iudex tremuit vir:
Festinantibus autē pedibus subiit capacem aulam,
Iesúmque interrogauit iterum cōsueto sermone,
Quis es? vnde es tu? Mitis verò in terram
Dominus oculos fixit, & non Pilato os soluens,
Responsiuam verbis alternantem dedit vocem.
Et Pilatus grauiter minacem cum sono emisit vo-
cem,
Non mihi tuis verbis respondes? nondum nouisti
Quòd in te fero duplicem potestatem? vtrunque
enim,
Et cruce domare possum, &, si voluero, te dimittam.
Et ei Christus dixit, superbum fastum redarguens,
Nullam haberes per se collectam in me potentiam,
Si non desuper esset donata. propter quod vir

Ὅς με λαβὼν παρέδωκεν, ἁμαρτάδα μείζονα πάσσει.
Ἔνθεν ἐπικρίνων Πιλάτος μενέαινεν ἐᾶσαι
Ἰησοῦν ἀδίκαστον, ἀνειμένον ἐκτὸς ὀλέθρου.
Λαοὶ δ' ἀντιάχησαν ἀσιγήτου κλόνον ἠχοῦς
Νηρίθμοις στομάτεσσιν, Ἀπήμονα τοῦτον ἐάσας,
Καίσαρος οὐ φίλος ἐσσὶ μονοσκήπτρου βασιλῆος.
Πᾶς γὰρ ἑαυτὸν ἄνακτα λέγων ψευδήμονι μύθῳ,
Καίσαρι Τιβερίῳ ψευδώνυμος οὗτος ἐρίζει.
Καὶ Πιλάτος τρομεροῖσιν ἐν οὔασι μῦθον ἀκούσας,
Ἔκτοθεν ὑψορόφων μεγάρων ἐκόμισσεν Ἰησοῦν.
Ἀρτιδόμῳ δ' ἐκάθητο λιθοστρώτῳ παρὰ χώρῳ,
Οὔνομα τοῦτο φέροντι βοώμενον Ἑλλάδι φωνῇ,
Οἷα λίθοις στορεσῖσι τετυγμένῳ· ἐνδαπίῳ δὲ
Γαββαθὰ παφλάζοντι Σύρῳ κικλήσκετο μύθῳ.
Ἕκτη δ' ἣν ἐνέπουσι προσάββατος ἔπλετο ἠώς·
Ἦν δὲ τιταινομένη τριτάτη θανατηφόρος ὥρη·
Καὶ Πιλάτος ταχυεργὸς ἀπ' εὐλάϊγγι θώκῳ
Ἑβραίοις ἐβόησεν, Ἴδε σχεδὸν ἵσταται ἀνήρ,
Κοίρανος ὑμείων, βασιλήϊον εἷμα κομίζων.
Λαοὶ δ' ἀντιάχησαν ὁμοφθόγγων ἀπὸ λαιμῶν,
Τοῦτον ἑλὼν σταύρωσον ἐλεγχίστῳ τινὶ πότμῳ·
Ὄρθιος οὗτος ὄλοιτο σιδηροφόρων ἀπὸ γόμφων,
Δουρατέου θανάτοιο ταθεὶς τετράζυγι δεσμῷ.
Καὶ Πιλάτος πάλιν εἶπεν ὅλῳ θηήτορι λαῷ,
Δούρασι γομφοτύποισιν ἐγὼ γομφωτὸν ἐλάσσας
Κοίρανον ὑμείων, ὀλέσω ποινήτορι πότμῳ;
Καὶ δολίοις στομάτεσσιν ἀνέκραγον ἀρχιερῆες,
Ἄλλον ἔχειν οὐκ ἴδμεν ἀήθεα κοίρανον ἡμεῖς,
Κοίρανον αὐτοκέλευστον, ὃν οὐκ ἐστέψατο Ῥώμη,
Εἰ μὴ Καίσαρα μοῦνον, ἀτέρμονα ποιμένα κόσμου.

Καὶ



Qui me capiens tradidit, peccatum maius retinet.
Inde decernens Pilatus cogitauit dimittere
Iesum indemnatum, dimissum è pernicie.
Populus verò contrà clamauit non tacentis strepitu soni
Infinito ore, Illæsum hunc relinquens,
Cæsaris non amicus es solius sceptriferi regis.
Omnis enim seipsum regem dicens mendaci sermone,
Cum Cæsare Tiberio falsò nominatus hic contendit.
Et Pilatus trementibus auribus sermonem audiens,
Extra excelsas ædes eduxit Iesum.
Recèns extructo autem sedit lithostroto in loco,
Nomen hoc ferente dictum Græca voce,
Quasi lapidibus stratis elaborato: indigenæ autem
Gabatha nominanti Syro vocatur vocabulo.
Sexta autem quam dicunt initium sabbati erat aurora:
Eratque protensa tertia lethifera hora.
Et Pilatus promptus è lapidosa sede
Iudæis clamauit, Ecce propè stat vir,
Dominus vester, regiam vestem ferens.
Populus autem respondit consentiente ex gutture,
Hunc accipiens crucifige maximè ignominiosa aliqua morte:
Erectus hic pereat ferriferis à clauis,
In ligno facta morte extensus quadriiugo vinculo.
Et Pilatus rursus dixit toti inspicienti populo,
Ligno clauis traiecto ego clauis astrictum adigens
Regem vestrum, perdam vindice morte?
Et doloso ore acclamarunt pontifices,
Alium habere nescimus inconsuetum regem nos,
Regem iniussum, quem non coronauit Roma,
Nisi Cæsarem solum, infinitum pastorem mundi.

Et

Καὶ Πιλάτος λαοῖο βοὴν ἄσβεστον ἀ-
κούων,
Χριστὸν ἑκὼν ἀέκων ἀδίκῳ παρέδωκεν ὀλέθρῳ.
Καὶ θανάτῳ χαίροντες ἀναιδέες ἀρχιερῆες
Ἰησοῦν ἐδέχοντο θελήμονες. ὠκύμοροι
δὲ
Ἀθανάτου Χριστοῖο βροτοὶ γεγάασι φονῆες
Πάντες ὁμοῦ. καὶ σταυρὸν ἔχων ἑὸν αὐτὸς Ἰησοῦς,
Εἰς μόρον ἀπτοίητος ἑκούσιον εἶχε πορείην,
Εἰσόκε χῶρον ἵκανε φατιζομένοιο Κρανίου,
Ἀδὰμ πρωτογόνοιο φερώνυμον ἄντυγι κόρσης·
Γολγοθὰ τὴν καλέεσκε Σύρων στόμα. κεῖθι φονῆες
Εἰς δόρυ τετράπλευρον ἐπήορον ὑψόθι γαίης
Ὄρθιον ἐξετάνυσσαν ἐπισφίγξαντες ἀνάγκῃ
Πεπταμένας ἑκάτερθε σιδηρείῳ τινὶ δεσμῷ
Χεῖρας· ὁμοτρήτῳ δὲ πεπαρμένον ἄζυγι γόμφῳ,
Διπλόον ἦτορ ἔχοντα μιῇ τετορημένον ὁρμῇ,
Ποσσὶν ὁμοπλεκέεσσιν ἀκαμπέα δεσμὸν ὀλέθρου.
Κέντροις δ' ἀντιτύποισιν ἐπὶ σταυροῖο δεθέντας
Νυκτιλόχους δύο φῶτας ἐνὶ ξυνώσαν ὀλέ-
θρῳ
Γείτονας ἀλλήλοισι· μέσον δ' ἔστησαν Ἰησοῦν.
Καὶ Πιλάτος θηητὴν ἐπέγραφε μάρτυρι γόμφῳ
Γράμμα, τόπερ καλέουσι Λατινίδι τίτλον ἰωῇ.
Ἦν δὲ σοφῷ καλάμῳ τετυπωμένον, Οὗτος Ἰησοῦς,
Οὗτος Ἰουδαίων βασιλεὺς Γαλιλαῖος Ἰησοῦς.
Καὶ πολὺς Ἑβραίων ἐπιδήμιος ἑσμὸς ἀνέγνω
Τίτλον ἰδών, ὅτι χῶρος ἔην λόφος ἄστεϊ γεί-
των,
Ὁππόθι μιν σταυροῖο συνεκλήϊσσαν ὀχῆϊ.
Ἦν δὲ μιῆς παλάμης νοερῷ κεχαραγμένον ὁλκῷ
Αὐσονίῃ γλώσσῃ τε, Σύρῳ καὶ Ἀχαιΐδι φωνῇ.
Καὶ Πιλάτον λιτάνευον ὁμήλυδες ἀρχιερῆες,
Μὴ γράφε, μὴ γράφε τοῦτον Ἰουδαίων βασιλῆα,

Ἀλλ'



Et Pilatus populi clamorum inextinguibilem au-
diens,
Chriſtum volens nolens iniuſto tradidit exitio.
Et morte gaudentes impudentes Pontifices
Ieſum receperunt prompti: citóque afferentes exi-
tium
Immortalis Chriſti mortales facti ſunt homicidæ
Omnes ſimul. & crucem baiulans ſuam ipſe Ieſus,
Ad mortem imperterritus volentem habuit viam,
Donec in locum venit nominati Cranii,
Adam priſci nomen ferentem ambitu capitis:
Golgotha hunc vocabat Syrorum os. ibi homicidæ
In haſtam quadratam ſublimem ſupra terram
Erectum extenderunt aſtringentes violentia
Explicatas vtrinque ferreo quodam vinculo
Manus: ſimul foratóque transfixum ſingulari clauo,
Duplex ſummum habens vno traiectum impetu,
Pedibus complicatis inflexile vinculum exitii.
Stimulis autem renitentibus ad crucem ligatos
Nocturnos latrones duos viros vnà ſimul affecerunt
morte
Vicinos inuicem: medium autē ſtatuerunt Ieſum.
Et Pilatus viſibilem ſcripſit teſtificante ſtylo
Inſcriptionem, quam vocant Latina titulum voce.
Erat autem ſapienti calamo expreſſus, Hic Ieſus,
Hic Iudæorum rex Galilæus Ieſus.
Et multus Iudæorum peregrinus cœtus legit
Titulum videns, quia locus erat collis ciuitati vi-
cinus,
Vbi ipſum crucis coniunxerunt repagulo.
Erat autem vnius manus ſcienti ſignatus tractu,
Romana lingua, Syriaca & Græca voce.
Et Pilatum rogarunt ſimul venientes pontifices,
Ne ſcribas, ne ſcribas hunc Iudæorum regem,

Sed

Ἀλλ' ὅτι κεῖνος ἔνισπεν ἑῇ ψευδήμονι φωνῇ,
Κοίρανος Ἑβραίων τελέθω, σκηπτοῦχος Ἰησοῦς.
Καὶ Πιλάτος φάτο μῦθον, ἀπηνέας ἄνδρας ἐλέγχων,
Ἔγραφον ἀσφαλέως τόπερ ἔγραφον. Ὑψιφανῆ δὲ
Ἰησοῦν ἀτίνακτον ὑποδρηστῆρες ὀλέθρου
Ἐκταδὸν ὀρθώσαντες ἐπὶ σταυρῷ δεθέντα,
Θεσπεσίην ἐσθῆτα θεηγενέος βασιλῆος
Ἱστάμενοι δάσαντο, καὶ αἰγλήεντα χιτῶνα,
Ὅστις ὅλος καὶ ὕπερθεν ὁμοῦ καὶ ἔνερθε φορῆος
Ἄρραφος ἦεν ὑφαντός, ἀπ' αὐχένος εἰς σφυρὰ λήγων.
Ἀλλήλοις δ' ὀάριζον ὁμοφθόγγῳ τινὶ μύθῳ,
Οὔ ποτε μὴ σχίζωμεν ἀληθέα τόνδε χιτῶνα,
Θέσκελον ἀμφιέποντα τύπον ξένον· ἀλλ' ὑπὲρ αὐτοῦ
Δάκτυλα χειρὸς ἀνέντες, ἑκηβόλα σύμβολα νίκης,
Λαχμῷ πάντες ἴδωμεν ἀδηρίτῳ τίνος ἔσται·
Ὄφρα κε μῦθος ἐκεῖνος ἐτήτυμος ὄψιμος εἴη,
Ὃν κιθάρῃ ψάλλουσα θεηγόρος ἔννεπε μολπή,
Ἡμέτεροι δασπλῆτες ἐπ' ἀλλήλοισι φονῆες,
Ξυνοὶ ἀμιλλητῆρες, ἐμοὺς δάσαντο χιτῶνας,
Καὶ κλήρους ἐβάλοντο φιλοχλαίνῳ τινὶ λαχμῷ,
Ἡμετέρης ἐσθῆτος ἕως ἐγένοντο φορῆες.
Καὶ τὰ μὲν ἔργα τέλεσσεν ἀθεσμοβίων στρατὸς ἀνδρῶν·
Ἐγγύθι δὲ σταυροῖο συνήλυδες ἦσαν ἑταῖροι,
Καὶ Μαρίη, Χριστοῖο θεητόκος, οἷς ἅμα κείνη
Σύγγονος ἦν Μαρίη καὶ ὁμώνυμος· ἦν δὲ καὶ αὐτὴ
Μαγδαληνὴ Μαρίη φιλοδάκρυος. ὡς δὲ τεκοῦσαν

Χριστὸς



Sed quòd ille dixit sua mendaci voce,
Rex Iudæorum sum, sceptriger Iesus.
Et Pilatus dixit sermonem, immites viros redarguens,
Scripsi certò quod scripsi. Sublimem verò
Iesum immotum ministri mortis
Explicatè erigentes ad crucem ligatum,
Diuinam vestem à Deo geniti Regis
Stantes diuiserunt, & splendidam tunicam,
Quæ integra suprà simul & infrà gestantem
Inutilis erat contexta, à ceruice ad malleolos desinens.
Inter se autem loquebantur concordi quodam sermone,
Purpuream ne dissecemus veram hanc tunicam,
Diuinam habentem formam peregrinam: sed pro ipsa
Digitos manus iacientes, procul iacta signa victoriæ,
Sorte omnes videamus contentionis experte cuius erit:
Vt sermo ille serus verus existeret,
Quem cithara cantans diuiniloquus dixit cantus,
Nostri terribiles inter se homicidæ,
Communes aduersarii meas diuiserunt vestes,
Et sortem iecerunt chlænæ cupida quadam sorte,
Nostri vestimenti donec facti sunt gestatores.
Et hæc quidem opera fecit facinorosorum exercitus virorum.
Prope verò crucem comites erant socii,
Et Maria Christi deipara, quibus simul illa
Cognata erat Maria & cognominis; aderat autem & ipsa
Magdalena Maria libenter lacrymans. Quum verò matrem

Christus

Χριστὸς ἴδεν θεόπαιδα καὶ ὃν φιλέεσκε μαθη-
τὴν,
Μητέρι μῦθον ἔλεξε, Γύναι φιλοπάρθενε μῆτερ,
Ἢν ἴδε παρθένον υἷα. καὶ ἔμπαλιν εἶπε μαθητῇ,
Ἢν ἴδε παρθενικὴ φιλοπάρθενε σεῖο τεκοῦσα
Νόσφι τόκου. Κείνης δὲ μετὰ δρόμον ὠκύποδος
ὥρης
Παρθένον ὠδίνων συνέστιον εἶχε μαθη-
τὴς
Ἔνδον ἑοῦ μεγάροιο. καὶ ἄσπορος ἔσκε τεκούσης
Υἱὸς, ἀνὴρ ἀλόχευτος, ἀπειροδίνος ἀνά-
σσης.
Ἰησοῦς δ᾽ ἅμα πάντα παριππεύσαντα νοήσας
Ὅττι θοῶς τετέλεστο, θοώτερον ἤθελεν εἶναι
Τέρματος ἱσταμένοιο τὸ λείψανον· εἶπε δὲ λαῷ,
Διψώω. καὶ ἑτοῖμον ἔην παρὰ γείτονι χώρῳ
Ὄξεος ἔμπλεον ἄγγος· ἀνὴρ δέ τις ὀξὺς ἀκούσας,
Σπόγγον ὑποβρυχίων ἀδύτων βλάστημα θα-
λάσσης
Πλήσας δριμυτάτοιο ποτοῦ καὶ διψάδος ἅλμης,
Ἰθυπόρου καλάμου παρὰ νείατον ἄκρον ἐρεί-
σας,
Ὤρεγεν ὑσσώπῳ κεκερασμένον ὄξος ὀλέθρου,
Ἀντίδοτον βασιλῆι μελιστάγεος νιφετοῖο
Ἄρτου θεσπεσίοιο, δι᾽ ἠέρος ὑψόσε τείνων
Ἄκρον ἀειρομένου καλάμου, καὶ σπόγγον ἀλήτην.
Ἀλλ᾽ ὅτε πικρὸν ἔδεκτο ποτὸν καὶ δίψιον ἅλ-
μην,
Ἀγχιθανὴς, Τετέλεστο, καὶ ὑστατίῳ φάτο μύθῳ·
Καὶ κεφαλὴν ἔκλινε, θελήμονι δ᾽ εἴκαθε πότμῳ.
Καὶ ζαμενεῖς ἱερῆες, ἐπεὶ περὶ δείελον ὥ-
ρην
Ἔστιχε μηλοφάγοιο προάγγελον ἦμαρ ἑορτῆς,
Ἐς δόμον ἀιχθέντος ἐπέρρεον ἡγεμονῆος·

Καὶ



Christus vidit deiparam & quem diligebat disci-
pulum,
Matri verbũ dixit, Mulier virginitate gaudẽs mater,
Ecce virginem filium. & rursus dixit discipulo,
Ecce virgo virginitatis studiose tua mater
Absque partu. Illius autem post cursum velocis
horæ
Virginem partu felicem cohabitantem habebat
discipulus
Intra suam domum: & non satus erat matris
Filius, vir non genitus, à partus dolorem non exper-
ta regina.
Iesus autem simul omnia transmissa intelligens
Quòd citò perfecta sint, citius voluit esse
Finis incuntis reliqua: dixítque populo,
*Sitio*. & paratum erat apud vicinum locum
Aceto plenum vas: vir autem quidam acutè au-
diens,
Spongiam subriguorum penetralium germen maris
Implens acerrimo potu & siticulosa muria,
Recta procedentis arundinis ad extremum cacumen
figens,
Præbuit hyssopo mixtum acetum exitii,
Compensationem Regi pro melliflua niue
Panis diuini, per aerem altè protendens
Summum sublatæ arundinis, & spongiam vagam.
Sed postquam amarum recepit potum & sitibundam
muriam,
Vicinus morti, Perfectum est, vltimo dixit sermone:
Et caput inclinauit, volentíque cessit morti.
Et furentes sacerdotes, postquam circa vespertinam
horam
Cucurrit agniuori prænuntius dies festi,
In domum elati affluxerunt præsidis;

Et Pi-

Καὶ Πιλάτον λίσσοντο συνήλυδες, ὄφρα κεν αὐτῶν,
Χριστοῦ θεσπεσίοιο, καὶ ὀψιμόρων δύο φωτῶν,
Τρισσῶν, πουλυόδοντι πόδες τέμνοιντο σιδήρῳ·
Μὴ καὶ ἐπὶ σταυροῖο πεπηγότα σώματα μίμνῃ,
Ἕβδομον ὁππότε φέγγος ἐλεύσεται. ἦν γὰρ ἐκείνη
Πᾶσιν Ἰουδαίοισιν ἀθέσφατος ἔννομος ἠὼς
Φέγγεος ἑβδομάτοιο, τόπερ δεδάασι γεραίρειν.
Καὶ στρατὸς ἐγγὺς ἵκανε μιαιφόνος. ὑψιτενὴ δὲ
Πρώτου μὲν διέτεμνεν ἀλοιητῆρι σιδήρῳ
Μειλιχίου πόδα δισσόν· ἐπὶ σταυρῷ δὲ τεθέντος
Ἄλλου νυκτιλόχου διδύμους πόδας ἀορι κόψας,
Δεύτερον ἐπρήνιξεν ἐπεσβόλον ὀξέϊ πότμῳ.
Ἰησοῦ δ᾽ ὅτε νεκρὸν ἐσέδρακον, οἷα θανόντος,
Οὐ πόδας ἠλοίησαν ὁμόζυγας ἠθάδι χαλκῷ.
Ἀλλὰ θορὼν ἀκίχητος ἀνὴρ ἀνεμώδεϊ λόγχῃ,
Πλευρὴν πᾶσι μέλουσαν ἀφειδέϊ νύξε μαχαίρῃ.
Καὶ διδύμαις λιβάδεσσιν ἀπὸ πλευροῖο τυπέντος
Πρῶτα μὲν αἷμα χύθη, μετέπειτα δὲ θέσκελον ὕδωρ.
Ἀνὴρ δ᾽ ὅστις ὄπωπεν, ἑῷ πιστώσατο μύθῳ
Μαρτυρίην ἀτίνακτον. ἀριστονόοιο δὲ κείνου
Ἴδμεν ὅτι ζαθέη καὶ ἐτήτυμος ἔπλετο φωνή.
Ταῦτα δὲ πάντα πέλεσκεν, ὅπως ἔπος ἔμπεδον εἴη
Ὃ ζαθέῃ φόρμιγγι μελίπνοος ἔννεπε μολπὴ,
Χριστοῦ ἀμωμήτοιο προάγγελος, Οὐδὲν ἀπ᾽ αὐτοῦ
Κεκριμένων μελέων τετριμμένον ὀστέον ἔσται.
Καὶ φέρεται λόγος ἄλλος ὃν ἔννεπε θέσκελος ἀνὴρ,
Ὄψονται πρὸς ἐκεῖνον ὃν οὔτασαν, ὅστις ὀπάσσει

Ποινὴν



Et Pilatum precabantur congregati, vt ipsorum,
Christi diuini, & serò morientiũ duorum virorum,
Trinorum, multos dentes habente pedes secarentur ferro:
Ne etiam in cruce fixa corpora manerent,
Septimum quando lumen veniret. erat enim illa
Omnibus Iudæis immensa legitima aurora
Lucis septimæ, quam nouerunt honorare.
Et exercitus propè accessit sanguinarius. altè extensum verò
Primi quidem dissecuit penetrabili ferro
Placidi pedem duplicem: in cruce etiam positi
Alterius nocturni latronis geminos pedes gladio tundens,
Alterum præcipitauit conuitiatorẽ celeri morte.
Iesum verò quando mortuum viderat, tanquam mortui
Non pedes percussit coniugatos consueto ferro:
Sed currens incomprehensibilis vir leui lancea
Latus charum non parcenti vulnerauit gladio,
Et geminis liquoribus ex latere percusso,
Primùm quidem sanguis effusus est, deinceps verò diuina aqua.
Vir autem qui vidit, suo confirmauit sermone
Testimonium immotum. mente autem optima præditi illius
Scimus quòd diuina & vera est vox.
Hæc autem omnia fiebant, vt dictum firmum esset
Quod diuina cithara suauiter spirans dixit cantus,
Corporis irreprehensibilis prænuncium, Nullum ex ipso
Discretorum membrorum contritum os erit.
Et fertur sermo alius quem dixit diuinus vir,
Videbunt eum quem vulnerarunt, qui præbebit

Ποινὴν δ' ὀψιτέλεστον ἀμοιβάδα κέντορι λόγχῃ.
Καὶ Πιλάτον μετέπειτα λαθὼν ἱκέτευεν Ἰωσὴφ,
Τάρβος Ἰουδαίων πεφυλαγμένος· ὅς ῥα καὶ αὐτὸς
Ἀπροΐδης Χριστοῖο φιλήκοος ἔσκε μαθητὴς,
Ἐκ στόματος ζαθέοιο σοφὸν γάλα πιστὸν ἀμέλγων.
Οὗτος ἰὼν ἱκέτευεν, ὑπωρόφιον γόνυ κάμπτων,
Ὄρχαμον αἰτίζων νέκυν ἔνθεον. αὐτὰρ ὁ χαίρων
Νεκρὸν ἀειζώοντα θεουδέϊ δῶκε φορῆϊ.
Καὶ ποδὶ σιγαλέῳ νεκυοστόλος ἤλυθεν Ἰωσήφ.
Ἐγγύθι δὲ σταυροῖο πεπηγμένον ἄκρον ἐρείσας,
Δίζυγα χαλκὸν ἔλυσεν ἀκαχμένον ὀξέϊ δεσμῷ,
Καὶ νέκυν ἑστηῶτα κατήγαγε δείελος ἀνὴρ,
Φόρτον ἐλαφρίζων θεοδέγμονι κείμενον ὤμῳ.
Ἦλθε δὲ καὶ Νικόδημος, ὃς ἤλυθε νυκτὸς ὁδίτης
Ἐς μέγαρον Χριστοῖο, φυλασσομένῳ ποδὶ βαίνων,
Σμύρναν ἄγων θυόεσσαν, ἐρυθραίοιο δὲ κήπου
Ἰνδῴης ἀλόης δονακοτρεφὲς ἔρνος ἀρούρης,
Λίτρας τὰς καλέουσι φατιζομένῳ τινὶ μέτρῳ
Ἄχρι μιῆς ζαθέης ἑκατοντάδος· ὧν ἅμα καρπῷ
Λεπταλέαις ὀθόνῃσιν ἐμιτρώσαντο θανόντος
Σῶμα, πολυπλέκτῳ ἑλίκων εὐώδεϊ δεσμῷ,
Ὡς ἔθος Ἑβραίοις ἐπιτύμβια θεσμὰ φυλάσσειν.
Ἦν δέ τις αὐτόθι τύμβος ἀερσιλόφῳ παρὰ χώρῳ,
Χριστὸν ὅπη σταυροῖο συνεκλήϊσαν ὀχῆϊ
Νηλὴς ἐχθρὸς ὅμιλος. ἔην δ' ἐνὶ γείτονι κήπῳ
Τύμβος ἀδωμήτοιο βαθυνομένης ἀπὸ πέτρης,
Γλυπτὸς ὅλος, νεότευκτος: ἐν αὐλαΐγγι δὲ τύμβῳ
Οὔπω νεκρὸς ἔκειτο χυτῆς ψαμάθοιο τυχήσας·

Ἀλλὰ



Pœnam serò perfectam compensationem stimulanti lanceæ.
Et Pilatum deinceps clàm precabatur Ioseph,
Præ timore Iudæorum cautus: qui sanè & ipse
Improuisus Christi audiendi cupidus erat discipulus,
Ex ore diuino sapiens lac fidele mulgens.
Hic abiens supplicabat, domesticum genu flectens,
A principe petens mortuum diuinum. sed ille gaudens,
Mortuum semper viuentem religioso dedit gestatori.
Et pede tacito mortuos transmittens venit Ioseph.
Iuxta autem crucem fixum vestigium fulciens,
Duplex ferrum soluit perferratum acuto vinculo,
Et mortuum innixum deduxit vespertinus vir,
Onus leuans Deum recipienti iacens in humero.
Venit autem & Nicodemus, qui venerat noctu viator
In domum Christi, cauto pede incedens,
Myrrham ferens fragrantē, rubicundi etiam horti
Indicæ aloes in arundinibus crescens germen terræ,
Libras quas vocant nominata quadam mensura
Vsque ad centenariū numerū: quorū simul cum fructu
Tenuibus linteis cinxerunt mortui
Corpus, multiplici circumuolutionum fragranti vinculo,
Vt mos est Iudæis sepulcrales ritus seruare.
Erat autem quoddam ibi sepulcrum sublimis collis iuxta locum,
Christum vbi crucis conclusit repagulo
Immitis hostilis cœtus. erat etiam in vicino horto
Sepulcrum rudi cauato è saxo,
Sculptum totum, nouiter extructum. in lapidoso autem sepulcro
Nondum mortuus iacuerat sepulcralem terram assequutus:

Ἀλλὰ τάφου καθαροῖο φυτηκόμος αὔρη
Χῶρον ἀνερρίπιζεν, ὅπῃ ταλαεργὸς Ἰωσὴφ
Ἰησοῦν ἐκόμισσεν ἑῷ πεφορημένον ὤμῳ.
Καὶ νέκυν οὐ μίμνοντα λιθώδεϊ θῆκε χαμεύνῃ,
Νεκρὸν, ἀειζώοντα, τριήμερον ἔνδοθι τύμβου,
Σῆμα παρ' αὐτόῤῥιζον, ἀμάρτυρον ἔργον ὑφαίνων·
Ὅττι παρ' Ἑβραίοισι φυλασσομένης δρόμον ὥρης,
Γείτονα νύκτα φέρουσα προσάββατος ἔτρεχεν ἠώς·
Καὶ πάλιν ἐς δόμον ἦλθε λαθὼν ἀκίχητος Ἰωσήφ.

Τῇ δὲ μιῇ φθαμένῃ μετὰ σάββατον ἠριγενείῃ, Κεφ. κ.
Μαγδαληνὴ Μαρίη φιλοδάκρυος ἐγγύθι τύμβου
Ὄρθριον ἴχνος ἔκαμψεν, ὅτε σκιοειδέϊ γαίῃ
Νυκτιφαὴς ἀχάρακτος ἑῷος ᾔιεν ἀστήρ·
Καὶ λίθον οὐδαίοιο μετοχλισθέντα θυρέτρου
Ἄπλετον ἐν δαπέδῳ κεκυλισμένον, ἄχθος ἀρούρης,
Καὶ τάφον ἔδρακε γυμνὸν, ὅπῃ βαρύφορτος Ἰωσὴφ
Ἰησοῦν ὀλίγῃ ψαμαθώδεϊ θῆκε χαμεύνῃ.
Κεῖθι γυνὴ νυχίη πόδας εὔνασεν· ἀμφὶ δὲ κόλπῳ
Πενθαλέον μύρον εἶχεν, ἐρημαίης δὲ χαμεύνης
Ἥψατο, μαστεύουσα νέκυν φύξηλιν ἀλεῖψαι.
Ἀλλά μιν οὐκ ἐκίχησεν· ἐπειγομένῳ δὲ πεδίλῳ
Νόστιμος εἰς δόμον ἦλθε· κατηπιόωντι δὲ Πέτρῳ
Ἀγγελίην ἑτέρῳ τε συνενδιάοντι μαθητῇ,
Κοίρανος ὃν φιλέεσκε, μιῇ ξυνώσατο φωνῇ
Ἀμφὶ τάφοιο κενοῖο. καὶ ὡς ἔχε Πέτρος ἀκούσας,
Ἔμπνοος οἰστρηθέντι ποδῶν διφήτορι ταρσῷ
Ἔνθορεν ἐκ μεγάροιο. καὶ ὡμάρτησε μαθητὴς





Sed ſepulcri puri peruadens hortenſis aura
Locum perflabat, quò laborioſus Ioſeph
Ieſum detulit ſuo geſtatum humero.
Et mortuum non manentem in lapidoſum poſuit humilem lectum,
Mortuum, ſemper viuum, triduanum in tumulo,
Ad ſepulcrum ſuis radicibus innitens, non teſtificatum opus texens:
Quia apud Iudæos obſeruatæ curſum horæ,
Vicinam noctem ferens initium ſabbati cucurrit aurora:
Et rurſus domũ iuit latens incõprehenſibilis Ioſeph.

Vna autem præuertente poſt ſabbatum aurora, Cap. XX.
Magdalena Maria lugubre prope tumulum
Matutinum veſtigium flexit, quando vmbroſam per terram
Noctu apparens non ſignata matutina iuerat ſtella:
Et lapidem liminari tranſmotum ab oſtio
Ingentem in pauimento reuolutum, pondus terræ,
Et ſepulcrum videt nudum, quò onuſtus Ioſeph
Ieſum in paruum arenoſum poſuit humilem lectum.
Ibi mulier nocturna pedes ad quietem collocauit: in ſinu autem
Luctuoſum vnguentum habebat, deſertúmque lectum
Attigit, inquirens mortuum fugitiuum inungere,
Sed ipſum non deprehendit: feſtinante autem pede
Reuerſa in domum venit, placidóque Petro
Nuntium & altero cohabitanti diſcipulo,
Dominus quem dilexit, vna communicauit voce
De ſepulcro vacuo. & quum Petrus audiſſet,
Reſpirans incitato pedum indagatore tarſo
Proruit è domo. & ſequebatur diſcipulus

Ἄλλος ὁμῶς ἐπὶ σῆμα, καὶ εἰς δρόμον ἔτρεχον ἄμφω.
Καὶ φθάμενος Σίμωνα ποδηνέμος ἦλθε μαθητὴς,
Πέτρου ἐπερχομένοιο θοώτερος. ἀγχιφανὴς δὲ
Ἱστάμενος παρέκυψε, καὶ ἔδρακεν ἔνδοθι τύμβου,
Ἀντωποῖς βλεφάροισι κενήριον ὀξὺ δοκεύων,
Κεκλιμένας ὀθόνας χιονώδεας ὑψόθι γαίης.
Οὐ μὲν ἔσω διέβαινε, καὶ εἰ ταχὺς ἦλθεν ὁδεύων.
Ἑσπόμενος δὲ πόδεσσιν ὀπίστερος ἵκετο Σίμων,
Καὶ ταχὺς ἔνδον ἵκανεν. ὑπὲρ δαπέδοιο δὲ γυμνοῦ
Σύζυγας ἀλλήλοις λινέους ἐνόησε χιτῶνας,
Καὶ κεφαλῆς ζωστῆρα παλίλλυτον ἅμματι χαίτης,
Σουδάριον τό περ εἶπε Σύρων ἐπιδήμιος αὐδὴ,
Οὐ ταφίαις ὀθόναις παρακείμενον, ἀμφιλαφὴς δὲ
Μουνάδα αὐτοέλικτον, ὁμόπλοκον εἶν ἑνὶ χώρῳ.
Ἦλθε καὶ ὁ πρότερος ἰὼν ἐπὶ σῆμα μαθητὴς,
Καὶ βραδὺς ἔνδον ἵκανε λιθογλυφέος κενεῶνος·
Καὶ λίθον εὐδίνητον ἐοικότα χάσματι τύμβου,
Ἀντίτυπον στήριγμα χαραδραίου πυλεῶνος,
Καὶ πλοκάμων τελαμῶνα, καὶ εἵματα κείμενα γαίῃ
Ἔδρακε· καὶ πίστευεν ὅτι χθονίων ἀπὸ κόλπων
Οὐρανίην ἐπὶ πέζαν ὑπηνέμιος νέκυς ἔπτη.
Οὐ γάρ πω δεδάασι δύω Χριστοῖο μαθηταὶ
Ὅττι ταχὺς μετὰ πότμον ἀνόστιμον οὔδας ἐάσας,
Εἰς τρία φάεα μοῦνον ἐγέρσιμον ὕπνον ἰαύων,
Νόστιμος ἐκ νεκύων ἀναβήσεται εἰς πόλον ἄστρων,
Ἀκλινέος θανάτοιο παλίλλυτα δεσμὰ πατήσας.
Πυκνὰ δὲ θαμβήσαντες ὀπιπευτῆρες ἑταῖροι,





Alius ſimul ad ſepulcrum, & ad domum cucurrerunt ambo.
Et præueniens Simonem leuis venit diſcipulus
Petro feſtinante celerior. vicinus autem
Stans inclinatus introſpexit, & ſpectauit intra tumulum,
Contrà intuentibus oculis vacuum monumentum celeriter videns,
Iacentia & lintea alba ſupra terram,
Nõ quidẽ interius peruenit, etſi celer venit ambulãs.
Sequens verò pedibus poſterior venit Simon,
Et celer intus venit. ſuper pauimentum autem nudum
Coniunctas inuicem lineas animaduertit tunicas,
Et capitis cingulum rurſus ſolutũ nexu capillorum,
Sudarium quod dixit Syrorum popularis vox,
Non ſepulcralibus linteis adiacens, ſed duplicatum
Separatim per ſe inuolutum, complicatum in vno loco.
Venit & prior vadens ad ſepulcrum diſcipulus,
Et tardus venit lapidibus ſculptam intra cauitatem:
Et lapidẽ mobilem conuenientem voragini tumuli,
Expreſſum fulcimentum lapidoſi oſtii,
Et capillorum ligamentum, & indumenta iacentia in terra
Vidit: & credidit quòd terreſtribus è ſinibus
Cœleſtem in regionem leuis mortuus volauit.
Nondum enim didicerant duo Chriſti diſcipuli
Quòd celer poſt mortem irremeabili ſolo relicto,
Ad tres dies ſolùm excitabilem ſomnum dormiens,
Redux ex mortuis aſcendet in cœlum aſtrorum,
Ineuitabilis mortis rurſus ſoluta vincula conculcãs.
Crebrò autem admirantes ſpectatores ſocii,

Ἀστάθεες σφετέροισιν ἐναυλίζοντο μελάθροις,
Ἄψοφα καλλείψαντες ἀπενθέος ἄντυγα τύμβου.
Μαγδαληνὴ δ' ἐλέλειπτο γυνὴ παρὰ σήματι
μούνη,
Θερμὸν ἀναβλύζουσα γοήμονος ὄμβρον ὀπωπῆς,
Μυρομένη ζώοντα. δι' εὐφαέος δὲ θυρέτρου
Ὡς ἔτι δακρυχέεσκε λάλον νέκυν ἐγγὺς
ἐόντα,
Ἀγγελικὴν ἐνόησε συνωρίδα· τὸν μὲν, ἐπ'
ἄκρου
Δεξιὸν ἀντικέλευθον ὑπὲρ Χριστοῖο καρήνου,
Μαρμαρυγὴν πέμποντα θεογλήνοιο προσώ-
που·
Τὸν δὲ, ποδῶν παρὰ πέζαν, ὅπη νέκυς ἦεν ἐχέ-
φρων,
Χιονέους σπινθῆρας ἀκοντίζοντα χιτῶνος.
Ἀμφότεροι δ' ἐρέεινον ἔσω τύμβοιο γυ-
ναῖκα,
Τίπτε γύναι στενάχεις; Μαρίη δ' ἠμείβετο μύθῳ,
Ὥς τινες ἅρπαγες ἄνδρες ἐμὸν βασιλῆα λαθόντες
Ἐννύχιοι σύλησαν· ἐγὼ δ' οὐκ οἶδα νοῆσαι
Ὁππόθι μιν μετέθηκαν. Ὑποστρεφθεῖσα δ' ἐκείνη
Ἰησοῦν ἐνόησεν ὃν ἔστενεν· ἱστάμενον δὲ
Εἶδε, καὶ οὐ γίνωσκεν ὅτι ζαθέῳ παρὰ τύμβῳ
Χριστὸς ἔην. καὶ ξεῖνος ἀνὴρ ἅτε κῆπον ὁ-
δεύων,
Τίπτε γύναι στενάχεις; κινυρὴν ἐρέεινε γυ-
ναῖκα·
Εἰπὲ, τί μαστεύεις; Μαρίη δ' ἐφθέγξατο φωνὴν,
Ἐλπομένη κήποιο φυτηκόμον ἄνδρα νοῆσαι,
Εἰ σὺ νέκυν ζοφόεντος ἐκούφισας ἔνδοθι τύμβου,
Ἔννεπε ποῦ μετέθηκας, ἐγὼ δέ μιν ἔνθεν ἀείρω.
Ἰησοῦς δ' ἀπάμειπτο, χέων ἀρίδηλον ἰωὴν,
Καὶ Μαριὰμ ἰάχησε. Μεταστρεφθεῖσα δ' ἐκείνη,
Ῥαββουνί,



Instabiles in suis morabantur domibus,
Tacitum relinquentes non luctuosi ambitum tumuli.
Magdalena verò relinquebatur mulier apud sepul-
crum sola,
Calidum fundens flebilis imbrem faciei,
Lugens viuentem. per pellucidum autem ostium
Quum adhuc deploraret loquentem mortuum propè
existentem,
Angelicam animaduertit coniugationem: alium qui-
dem, in summo
Dexterum oppositum super Christi caput,
Splendorem emittentem à diuinis oculis prædita
facie:
Alium verò, pedum ad regionem, vbi mortuus erat
tacitus,
Niueas scintillas iaculantem à tunica.
Vtrique autem interrogarunt intra tumulum mu-
lierem,
Cur mulier gemis? Maria verò respondit sermone,
Quòd quidam raptores viri meum regem clàm
Nocturni spoliarũt: ego verò non possum intelligere
Quò ipsum transposuerunt. Conuersa verò illa
Iesum animaduertit quem lugebat: stantémque
Vidit, & non cognouit quòd diuinum apud tumulum
Christus esset. & peregrinus quasi vir hortum per-
uadens,
Quid mulier ploras? luctuosam interrogauit mu-
lierem:
Dic, quid quæris? Maria autem sonuit vocem,
Putans se horti satorem virum videre,
Si tu mortuum caliginoso eleuasti ex sepulcro,
Dic quò transposuisti: ego verò ipsum inde tollam.
Iesus verò respondit, fundens valde manifestã vocẽ,
Et Mariam vocauit. Conuersa illa,
Magister,

Ῥαββουνὶ, κατέλεξε. Θεὸς δ' ἀνέκοψε γυναῖκα
Δεξιτερὴν μέλλουσαν ἐς ἄμβροτον εἷμα πελάσσαι·
Καί οἱ μῦθον ἔλεξεν, Ἐμοῦ μὴ ψαῦε χιτῶνος·
Οὔπω γὰρ μετὰ πότμον ἐμῷ νόστησα τοκῆϊ.
Ἀλλὰ κασιγνήτοισιν ἐμοῖς ἀγόρευε μαθηταῖς,
Πρὸς γενέτην ἐμὸν εἶμι, καὶ ὑμέτερον γενετῆρα,
Καὶ θεὸν ὑμείων, καὶ ἐμὸν θεὸν, αὖτις ἱκάνω.
Καὶ Μαριὰμ πεπότητο, καὶ ἔνδεκα μάρτυρι φωνῇ
Πᾶσιν ὑπωροφίοισιν ἔπος ξυνώσε μαθη-
ταῖς
Ὅττι μεταχθονίου γυμνούμενα γυῖα χιτῶνος,
Χριστὸν ἴδε στίλβοντα θεοκμήτῳ τινὶ πέ-
πλῳ.
Καί οἱ ἔφη τάδε πάντα, χέων ἀντώπιον αἴγλην.
Καὶ σκιερὴν ὅτε γαῖαν ὅλην ἐμέλαινεν ὁμί-
χλη,
Ἀκλινέες δὲ θύρετρα συνεκλήϊσαν ὀχῆες,
Ὁππόθι φωλεύοντες ἐναυλίζοντο μαθηταὶ,
Ὡς πτερὸν ἠὲ νόημα μετάρσιος εἰς μέσον ἔστη
Μιτρωθεὶς ἑτάροισι, καὶ ἔννεπε, Ξυνώνυμος ὑμῖν
Εἰρήνη. καὶ ἄελπτον ἔπος βραχὺ τοῦτο βοήσας,
Δεῖξε πόδας καὶ χεῖρας ὁμηγυρέεσσι μαθη-
ταῖς
Ἡλοτύπους, πλευρήν τε νεούτατον. ὀψιφα-
νῆ δὲ
Κοίρανον ἀθρήσαντες ἐγήθεον αὖτις ἑταῖροι.
Καί σφιν ἄναξ ἀγόρευε τὸ δεύτερον ὀξέϊ μύθῳ,
Εἰρήνη πάλιν ὔμμι. καὶ ὡς τετραζύγι κόσμῳ
Πέμψεν ἐμὸς γενέτης με, καὶ ὑμέας αὐτὸς ἰάλλω.
Εἶπε, καὶ ἀμβροσίων στομάτων φύσημα τιταίνων,
Χεῖλος ἀναπτύξας βιοτήσιον, εἶπε μαθηταῖς,
Ἁγνὸν πνεῦμα δέχεσθε· καὶ ὧν μερόπων ἐνὶ
γαίῃ
Δυσσεβίην ἀφέητε, βιοπλανὲς ἄχθος ἀνάγκης,
Ἀμπλακίης



Magister, dixit. Deus autem repressit mulierem
Dexteram volentem immortali vesti adiungere,
Et ei verbum dixit, Meam non tange tunicam.
Nondum enim post mortem ad meum redii patrem:
Sed fratribus meis dic discipulis,
Ad patrem meum vado, & vestrum patrem,
Et ad Deum vestrum, & meũ Deum, rursus venio.
Et Maria volabat, & vndecim testificante voce
Omnibus contubernalibus verbum communicauit discipulis,
Quòd terrestri nudatũm membris à tunica
Christum vidisset splendentem à Deo laborato quodam pallio.
Et ei dixit hæc omnia, fundens oppositũ splendorẽ.
Et vmbrosam quando terram totam nigrefecerat caligo,
Immoti & fores conclusissent vectes,
vbi delitescentes commorabantur discipuli,
Sicut ala vel cogitatio, sublimis in medium stetit,
Cinctus sociis, & dixit, Communis vobis
Pax. Et insperatum verbum breue hoc clamans,
Monstrauit pedes & manus simul congregatis discipulis
Clauo traiectas, & latus recèns vulneratum. serò apparentem autem
Dominum videntes lætati sunt rursus socii.
Et ipsis Rex dixit iterum celeri sermone,
Pax rursus vobis: & sicut quadriiugo mundo
Misit meus pater me, & vos ipse mitto.
Dixit: & immortalis oris flatum tendens,
Labia aperiens vitalia, dixit discipulis,
Spiritum sanctum recipite: & quorum hominum in terra
Impietatẽ dimiseritis, in vita errãs onus necessitatis,
Peccati

Ἀμπλακίης ἄμνηστος ἐπουρανίη λύσις ἔσται·
Ὧν δὲ πάλιν κρατέοιτε βροτῶν ἀλιτήριον
ἄτην,
Ἔργα βίου σφαλεροῖο μένει πεπεδημένα δεσμῷ.
Θωμᾶς δ' ἐνδομύχων ἀπελείπετο μοῦνος ἑταίρων,
Ἀγχιφανὴς ὅτε πᾶσι δι' ἠέρος ἦλθεν Ἰησοῦς,
Κοίρανος ἠνεμόφοιτος, ἀμάρτυρον οἶμον ἀ-
μείβων·
Καὶ οἱ ὀπιπευτῆρες ἐπεφθέγξαντο μαθηταὶ
Κοίρανον ὡς ἐνόησαν. ὁ δὲ θρασὺ χεῖλος ἀνοί-
ξας,
Ἔννεπε μῦθον ἄπιστον, ἐπεὶ βραδυδινέϊ
μύθῳ
Μαρτυρίης ἄγναμπτον ἐδίζετο μείζονα πειθώ,
Εἰ μὴ χεῖρας ἴδοιμι, βαθυνόμενόν τε σιδήρῳ
Πήξω δάκτυλον ἄκρον ἐς ὀξυτόρον τύπον
ἥλων,
Καὶ παλάμην γλαφυροῖο κατὰ πλευροῖο πελάσσω,
Οὔποτε πιστεύσαιμι. Θεοφραδέες δὲ μαθηταὶ,
Ὀγδοάτης μετὰ φέγγος ἐπήλυδος ἠριγενείης
Πάντες ἔσαν στοιχηδὸν ἔσω κρυφίοιο μελάθρου,
Φρικτὸν Ἰουδαίων πεφυλαγμένοι ὄγκον ἀπειλῆς.
Ἀγρομένοις δ' ἅμα τοῖσι συνέστιος ἕζετο Θω-
μᾶς,
Ὃν Δίδυμον καλέσαντο, διώνυμον. ἀπροϊ-
δὴς δὲ
Χριστὸς ἔσω μεγάροιο θορὼν ἀνεμώδεϊ ταρσῷ
Ἄπτερος, ἀγχιθέων ἀνεφαίνετο μέσσος ἑταίρων·
Καὶ τριτάτη παλίνορσος ἀνίαχεν ἠθάδι φωνῇ,
Εἰρήνη πάλιν ὔμμι. καὶ εἰν ἑνὶ πάντας ἐάσας,
Θωμᾶν ἀντικέλευθον ἀμείβετο μάρτυρι μύθῳ,
Δός μοι δεῦρο τεὸν σέο δάκτυλον, ὄφρα πελάσσω
Μάρτυρ' ἀναμφήριστον ἐς ὀξυτόρον τύπον
ἥλων·

Καὶ



Peccati obliuione deleta cœleſtis ſolutio erit:
Quorum verò rurſus tenueritis hominum peccatri-
cem noxam,
Opera vitæ errantis manent ligata vinculo.
Thomas autem intus latentibus deerat ſolus ſociis,
Vicinus quando ad omnes per aerem venit Ieſus,
Dominus per auras ambulans, non teſtificatam ſe-
mitam alternans.
Et ei ſpectatores dixerunt diſcipuli
Dominum quòd vidiſſent: ille verò audax labium
aperiens,
Dixit ſermonem incredulum, quia tardo ad motum
verbo [nem,
Teſtimonii inflexilem quærebat maiorem perſuaſio-
Niſi manus videam, profundam autem ferro
Fixero digitum ſummum acutè fixorum in formam
clauorum,
Et manum cauato lateri admouero,
Nunquam credam. Diuiniloqui autem diſcipuli
Octauæ poſt lucem aduenientis auroræ
Omnes erant ordine intra occultam domum,
Horridum Iudæorum vitantes faſtum minarum.
Congregatis autem ſimul his conuictor ſedebat
Thomas,
Quem Didymum vocarunt, binominem. improuiſus
autem
Chriſtus intra domum ruens veloci pede
Sine alis, diuinos apparebat medius inter diſcipulos;
Et tertia reciprocus ſonuit conſueta voce,
Pax rurſus vobis. & ſimul omnes relinquens,
Thomã vicinum alloquutus eſt teſtificante ſermone,
Da mihi huc amice tuum digitum, vt adiungam
Teſtem indubitatum in acutè fixorum typum cla-
uorum:

Et manus

Καὶ παλάμας ἑκάτερθεν ἐμὰς ἴδε· δεξιτερὴν δὲ
Πλευρῆς χεῖρα τάνυσσον ἐμῆς αὐτάγγελον
οὐλῆς·
Καὶ τεὸν ἦθος ἄπιστον ἀναίνεο· πιστότερον δὲ
Εἰς ἐμὲ διπλόος ἔσσο, καὶ εἰσορόων καὶ ἀφάσσων.
Θωμᾶς δ᾽ ὑστερόμητις ἀμοιβάδα ῥήξατο φωνήν,
Κοίρανος ἡμέτερος καὶ ἐμὸς θεός. Εἶπε καὶ αὐτὸς
Ἰησοῦς, Διδύμοιο νόον διχόμητιν ἐλέγχων,
Πείθεαι ἀθρήσας με, καὶ ὄμμασι δέξαο πειθώ;
Κεῖνοι μᾶλλον ἔασι μακάρτεροι οἱ μὴ ἰδόντες
Μείζονα πίστιν ἔχουσι, καὶ οὐ χατέουσιν ὀπωπῆς.
Ἄλλα δὲ θαύματα πολλὰ σοφῶν προπάροιθεν ἑταίρων
Ἰησοῦς ἐτέλεσσε, πολύτροπα σήματα φαίνων,
Μάρτυς ἀληθείης τάπερ ἔγραφε θεσπεσίῃ βίβλῳ,
Ὅς τάδε πάντα χάραξε, θελήμονι κάλλιπε σιγῇ.
Ταῦτα δὲ πάντα πέλει τετυπωμένα μάρτυρι δέλτῳ,
Ὄφρα κε πίστιν ἔχοιτε βιοσσόον, ὅττι τοκῆος
Χριστὸς ἀειζώοιο θεοῦ γόνος ἐστὶν Ἰησοῦς·
Ὕμμι δὲ πειθομένοισιν ἐπουρανίης χάριν ἀρχῆς
Ζωῆς θεσπεσίης αἰώνιός ἐστιν ἀμοιβή.

Κεφ. κα.

Τὸ τρίτον ἄμβροτον εἶδος ἑοῖς ἐνέφηνε
μαθηταῖς
Χριστὸς, ἀσιγήτοιο παρὰ Τιβεριάδος ἅλμης.
Οὕτω δ᾽ εἶδος ἔφηνεν· ἔσω κρυφίοιο μελάθρου
Πέτρος ἔην, ὁ πρόσθε βοώμενος οὔνομα Σίμων,
Καὶ σοφὸς Ἀνδρείας, ὁμογάστριος ὃς πέλε Πέτρου·
Καὶ ταχαλοὶ δύο παῖδες ἁλιτρεφέος Ζεβεδαίου,
Καὶ Θωμᾶς μετὰ τοῖσι Διώνυμος· ἦν δὲ καὶ αὐτὸς
Ναθαναὴλ, ἕτεροί τε δύω θεοπειθέες ἄνδρες.
Καί σφιν ἀγειρομένοισι λινοπλόκος ἔννεπε Σίμων,
Ἔρχομαι ἰχθυόεσσαν ἐς ἠθάδα πόντιον ἄγρην.
Καί οἱ μῦθον ἔλεξαν ὁμήλυδες ἀσπαλιῆες,
Σὺν σοὶ ἐς ἰχθυόεντα χυτῆς ἁλὸς ἔργα καὶ ἡμεῖς
Ἵεμεθα ξύμπαντες ὁμήλυδες. Ἐκ δὲ μελάθρου

Ἄμμιγα-



Et manus vtrinque meas vide: dexteram autem
In latus manum extende, meæ spontaneum nuncium
cicatricis:
Et tuos mores incredulos renue: magis credens etiã
In me dupliciter sis, & videns & tangens.
Thomas autẽ pòst sapiens responsiuam rupit vocem,
Dominus meus, & meus Deus. Dixit & ipse
Iesus, Didymi mentem ancipitem reprehendens,
Credis viso me, & oculis recepisti persuasionem?
Illi sunt beatiores qui non videntes
Maiorem fidem habent, & non indigent intuitu.
Alia verò miracula multa sapientibus coràm sociis
Iesus perfecit, varia signa ostendens,
Testis veritatis quæ scripsit diuino in libro,
Qui hæc omnia signauit, volẽti prætermisit silentio.
Hæc verò omnia sunt expressa testificante libro,
Vt fidem habeatis vitam seruantem, quòd patris
Christus semper viuentis Dei filius est Iesus:
Vobis verò credentibus cœlestis donum principatus
Vitæ diuinæ æterna sit retributio.

Cap. XXI.

Tertiò immortalem formam suis
manifestauit discipulis
Christus, resonans trans Tiberiadis mare.
Sic verò formam ostendit: intra occultam domum
Petrus erat, priùs vocatus nomine Simon,
Et sapiens Andreas, vterinus qui erat Petri,
Et celeres duo filii ex mari viuentis Zebedæi,
Et Thomas cum his binominis: erat verò & ipse
Nathanael, & alii duo Deo credentes viri.
Et ipsis congregatis retia plicans dixit Simon,
Vado ad piscosam consuetam marinam capturam.
Et ei sermonem dixerunt comites piscatores,
Tecum ad piscosa fusi maris opera & nos
Vadimus omnes comites. E domo autem

Conferti

Ἀμφιλαφεῖς ῥώοντο, καὶ ἀγχιπόρου στόμα λίμνης,
Νηὸς ἐπεμβαίνοντες, ἐπέπλεον. ἐννύχιον δὲ
Οὐδὲν ἁλιτρεύτῃσι δυνήσατο χερσὶ πιέζειν
Ἑσμὸς ἅπας· καὶ πυκνὰ παλιμπετὲς ἄχνυτο Σίμων,
Χερσὶν ἐπ' ἀμφοτέρῃσιν ὑπηνέμιον λίνον ἕλκων.
Καὶ ῥοδέης ἀκτῖσιν ὅτε ζόφον ἔσχισεν ἠώς,
Χριστὸς εὐκρηκάλεσι παρ' ἠόσιν ἵστατο πόν-
του,
Πρώϊον ἴχνος ἄγων ἐπιδήμιον ἠθάδι λί-
μνῃ,
Οἷα βορῆς χατέων ἁλιδινέος. οὐδὲ μαθη-
ταὶ
Δερκόμενοι γίγνωσκον ὅτι σχεδὸν ἦεν Ἰησοῦς.
Ὑγροβίους δ' ἐρέεινεν ἐθήμονας ἰχθυβο-
λῆας,
Πλωτὰ τελεσσιγόνοιο κομίζετε δεῖπνα θαλάσσης,
Παῖδες ἁλὸς δρηστῆρες. Ἀμειβόμενοι δὲ μαθηταὶ,
Οὐδὲν ἔχειν ἀνένευον. Ἄναξ δ' ἠμείβετο
μύθῳ,
Ἰχθυβόλῳ χαλάσαντες ἑκηβόλα δίκτυα πόντῳ
Βάλλετε φοιταλέης παρὰ δεξιὰ νηὸς ἑτοίμης.
Καὶ λίνα κολπώσαντες ἐς ἀμφίβληστρα πεσόντα,
Πόντιον αὐτοκύλιστον ἀνείρυον ἄσπετον ἑ-
σμὸν,
Ἰχθύας ἐνδομύχους χαροπῆς βητάρμονας ἅλμης.
Οὐκέτι δὲ σθένος εἶχον ὑποβρύχιον λίνον
ἕλκειν,
Πληθύος ἐκ νεπόδων βυθίῳ πολυχανδέϊ φόρτῳ,
Καὶ διερῷ Σίμωνι βυθίου διφήτορι πόντου
Κοίρανος ὃν φιλέεσκε συνέμπορος εἶπε μαθητὴς,
Αὐτὸς ἄναξ πέλεν οὗτος. Ὁ δὲ σχεδὸν ἐγγὺς ὀρούσας,
Εἵματι δαιδαλέῳ λαγόνας μιτρώσατο Σίμων,
Καὶ λινέῳ πεπύκαστο πολυτρήτῳ χρόα πέπλῳ,
Πόντιον ἀμφίβλημα περὶ γλουτοῖσιν ἑλίξας,





Conferti mouebantur, & vicini aditum lacus,
Nauim ingredientes, nauigarunt. per noctem verò
Nihil in mari laborantibus potuit manibus capere
Cœtus omnis. & crebrò identidē molestabatur Simō,
Manibus ambabus leue rete trahens.
Et roseis radiis quando caliginem diuiserat aurora,
Christus pulchros lapides habens ad littus stetit
maris,
Matutinum vestigium ducens peregrinum ad consue-
tum lacum,
Tanquam cibo indigens qui in mari voluitur. neque
discipuli
Videntes cognouerunt quòd propè erat Iesus.
Viuentes in locis humidis verò interrogauit consue-
tos piscatores,
Aquatilem prolifici afferte cœnam maris,
Pueri maris ministri. Respondentes autem discipuli,
Aliquid se habere abnuebant. Rex verò respondit
verbo,
In piscosum relaxantes procul iacta retia mare,
Mittite impetuosæ ad dexteram nauis promptæ.
Et vela curuantes in retia cadentia,
Marinum per se volutum sursum traxerunt immēsum
cœtum,
Pisces intus latentes cærulei saltatores maris.
Non amplius verò robur habebant submersum rete
trahere,
Præ copia piscium profundo multū capiente onere,
Et madido Simoni profundi indagatori maris,
Dominus quem dilexit comes dixit discipulus,
Ipse Rex est hic. Ille verò propè prosiliens,
Veste varia lumbos cinxit Simon,
Et lineo tectus est multifore circa corpus pallio,
Marinum indumentum circa nates voluens,

Δέρμα, τόπερ διδύμων κεχαλασμένον ἐς πτύχα μηρῶν,
Ἰχθυβόλοι φορέουσιν, ἀθηήτου σκέπας αἰδοῦς.
Γυμνὸν γὰρ δέμας εἶχεν, ἐς ἠόνα δίκτυον ἕλκων·
Καὶ ταχὺς εἰς ῥόον ἅλτο, καὶ ἤθαδα πόντον ἀμείβων,
Χεῖρας ἐρετμώσας, κεφαλὴν εἰς ὕψος ἀείρων,
Ποσσὶν ἀμοιβαίοισιν ὀπίστερον ὤθεεν ὕδωρ.
Ἀκτῆς δ' ἐγγὺς ἵκανε, θεοδέχον ἠόνα βαίνων,
Ἰησοῦς ὅθι μίμνε δεδεγμένος. οἱ δὲ δὴ ἄλλοι
Εἰν ἑνὶ πάντες ἵκοντο μιῆς ἐπὶ νηὸς ἑταῖροι,
Ἑσπόμενοι σύροντες ἐν ὕδασι δίκτυον ἄγρης.
Οὐ γὰρ ἔην περίμετρος ἁλὸς πλόος ἔκτοθι γαίης,
Ἀλλὰ διηκοσίοις ἐνὶ πήχεσι κύματος ὁλκῷ
Ἀφρὸν ἀνηκόντιζον ἐς ἠόνα θυιάδες αὖραι,
Γείτονος αἰγιαλοῖο περιρρανθέντος ἐέρσῃ.
Καὶ χθονὸς ὡς ἐπέβησαν ἐπ' ἠόνι διψάδος ἀκτῆς,
Πυρκαϊὴν φλογόεντι μαραινομένην ἴδον ἀτμῷ·
Ἀνθρακιῆς δ' ἐφύπερθεν ἐπ' ὀφρύσι κείμενον ἰχθὺν,
Ὀψὸν, καὶ νέον ἄρτον. ἄναξ δ' ἐκέλευε μαθηταῖς,
Ἄξατε νῦν βυθίων νεπόδων ἑτερόχροον ἄγρην,
Οὕστινας ἐκ λαγόνων ἐπιάσατε φορβάδος ἅλμης.
Καὶ διεροῖσι πόδεσσι θορὼν ἀνεβήσατο Σίμων,
Χερσὶν ὁμοσθενέεσσιν ἐπὶ χθόνα δίκτυον ἕλκων
Ἔγκυον ἀλλομένων νεπόδων ἐπιβήτορι παλμῷ
Μηκεδανῶν. καὶ νῶτα κεκυφότα τείρετο Σίμων,
Πάντοθεν ἰκμαλέης ἀγέλης ἑκατοντάδα σύρων.
Οἷσιν ὁμοπλεκέεσσιν ἐπίτροχον ἰχθύες ἄλλοι
Σὺν τρισὶ πεντήκοντα. καὶ οὐ λίνον ἔνδοθι πόντου
Σχίζετο, τοσσατίων νεπόδων βεβαρημένον ὁλκῷ.
Οὐ τότε τολμήσας τὶς ἀνὴρ ὁμόφοιτος ἑταίρων
Ἀντωποῖς βλεφάροισι θεὸν παρεόντα δοκεύων,
Τίς τελέθεις; ἐρέεινε, καὶ οὐ θρασὺς εἴρετο Σίμων,
Ἐγγύθι γιγνώσκων ὅτι κοίρανος ἦεν Ἰησοῦς.
Καί σφιν ἄναξ παρέθηκε φέρων περιμήκετον ἰχθὺν,
Ἰχθὺν καὶ νέον ἄρτον. ἑοῖς δ' ἐκέλευε μαθηταῖς,
Δεῦτε πάλιν δαίνυσθε μιῆς ὑπὸ κύκλα τραπέζης





Corium, quod geminorũ demissum ad sinus femorum
Piscatores gestãt, occultorũ munimentũ pudendorũ.
Nudum enim corpus habebat, in littus rete trahens:
Et celer in pontũ insiliit, & consuetũ mare transiens,
Manibus remigans, caput in altum attollens,
Pedibus alternantibus posteriorem trusit aquam.
Ad orã autẽ propè venit, Deũ recipiẽs littus scandẽs,
Iesus vbi mansit receptus. alii verò
Simul omnes venerunt vna in naui socii,
Sequens trahentes in aqua rete capturæ.
Non enim erat magna maris nauigatio à terra,
Sed ducentos cubitos fluctuum tractu
Spumam eiaculabantur ad littus furentes venti,
Vicinæ oræ maritimæ circumspersæ rore.
Et quum conscendissent in littus sitibundæ regionis,
Rogum flammeo marcescentem viderunt æstu:
Super autem prunas in superciliis positum piscem
Assum, & recentẽ panem. Rex verò iussit discipulis,
Afferte nunc profundorũ piscium diuersam capturã,
Quos ex finibus cepistis fœcundi maris.
Et madidis pedibus ruens ascendit Simon,
Manibus æqualiter robustis in terram rete trahens
Refertum salientium piscium agili vibratione
Oblongorum. & dorso curuato affligebatur Simon,
Vndique humidi gregis centenariũ numerũ trahens,
Quibus complicatis inhærebant pisces alii
Cum tribus [&]quinquaginta: & non rete in mari
Scindebatur, tantorum piscium grauatum tractu.
Non tunc audens aliquis vir comes sociorum
Oppositis oculis Deum præsentem videns,
Quis es? interrogauit: nec audax quæsiuit Simon,
Cominus cognoscens quòd dominus esset Iesus.
Et ipsis Rex apposuit ferens oblongum piscem,
Piscem & nouum panem: suis autẽ iussit discipulis,
Adeste, rursus conuiuemini vnius sub circulo mensæ

Ὀπταλέην ἀδόκητον ἐδήμονα δαῖτα θαλάσσης.
Τοῦτο πάλιν τρίτον ἄλλο ἐφαίνετο πᾶσι μαθηταῖς
Ἰησοῦς μετὰ θεῖον ἐγέρσιμον ὕπνον ὀλέθρου,
Νόσιμος ἐκ νεκύων, χθονίους κευθμῶνας ἐάσας,
Ἠθάδος ἰχθυβότοιο πέρην Τιβεριάδος ἅλμης
Εἰλαπίνης ἔψαυσε· καὶ εἰν ἑνὶ πάντας ἐάσας
Ἰχθυόεν μετὰ δεῖπνον ἀδαιτρεύτοιο τραπέζης,
Ἀγχιπόρῳ Σίμωνι θεηγόρον ἴαχε φωνήν,
Σίμων, γνήσιον ἔρνος Ἰωάνναο τοκῆος,
Συμμιγέων ἐμὲ μᾶλλον ὅλων ἑτάρων ἀγαπάζεις;
Καί οἱ Πέτρος ἔφη, Ναὶ κοίρανε· καὶ σὺ δὲ θυμῷ
Οἶδας ὅσσον φιλέω σε, καὶ οὐ μύθοιο χατίζεις.
Καὶ ζαθέοις στόμασιν ἄναξ ἐπετέλλετο Πέτρῳ,
Βόσκε μοι ἔμφρονας ἄρνας ἀσιγήτῳ σέο ῥάβδῳ.
Ἰησοῦς δ᾽ ἐρέεινεν ἀμοιβάδι Πέτρον ἰωῇ,
Σίμων, ἀγλαόπαιδος Ἰωάνναο γενέθλης,
Μούνων ὁμοζυγέων φιλέεις ἐμὲ μᾶλλον ἑταίρων;
Καὶ πετάσας βασιλῆϊ τὸ δεύτερον ἀνθερεῶνα,
Ἀνδρομένης ἀγέλης ἁλιεὺς ἐφθέγξατο Σίμων,
Ναὶ βασιλεῦ· σὺ δὲ μάρτυς ἐμῆς φρενός, οἶδας καὶ αὐτὸς
Ὅσσον ἐγὼ γλυκὺν φίλτρον ἀθέσφατον εἰς σὲ κομίζω.
Καὶ πινυτῷ παλίνορσος ἄναξ μυθήσατο Πέτρῳ,
Ἡμετέρων ποίμαινε νοήμονα πώεα μήλων.
Ἰησοῦς δ᾽ ἀγόρευε παλίσσυτον ἠθάδα φωνήν,
Πατρὸς Ἰωάνναο θεουδέος ἔκγονε Σίμων,
Ἀσφαλέως ποθέεις με πολὺ πλέον ἤπερ ἄλλοι;
Καὶ θρασὺς ἄχνυτο Πέτρος ὅτι τρίτον εἶπεν Ἰησοῦς,
Μᾶλλον ἐμῶν ἑτάρων με φιλοστόργων ἀγαπάζεις;
Ἰησοῦ δ᾽ ἀπάμειπτο κατηφέϊ Πέτρος ἰωῇ,
Πάντα σὺ γιγνώσκεις ὅσα μήδομαι, ὄρχαμε κόσμου,
Καὶ νοέεις φιλότητος ἐμῆς ἀτίνακτον ὀχῆα,
Οἷον ἔχων φιλέω σε. Θεὸς δ᾽ ἀντίαχε μύθῳ,
Οὐρανίῃ ποίμαινε καλαύροπι μῆλα καὶ ἄρνας.
Κουρίζων ἔτι Πέτρε τεῇ ἐζώννυσο μίτρῃ,
Καὶ ποδὸς ἴχνος ἔκαμπτες ὅπῃ μενέαινες ὁδεύειν·





Assum inexpectatum consuetum conuiuium maris.
Hoc rursus tertium aliud ostendit omnibus discipulis
Iesus post diuinum excitabilem somnum mortis,
Redux ex mortuis, terrestres secessus relinquens,
Consuetum pisces nutriens trans Tiberiadis mare
Epulum attigit: & simul omnes relinquens
Piscosum post conuiuium indiuisæ mensæ,
Vicino Simoni diuinam sonuit vocem,
Simon, legitimus ramus Ioannis patris,
Promiscuis me magis omnibus sociis diligis?
Et ei Petrus dixit, Ita domine, & tu animo
Nouisti quantum diligã te, & non sermone indiges.
Et diuino ore Rex præcepit Petro,
Pasce mihi prudentes agnos non tacente tuo baculo.
Iesus autem interrogauit compensante Petrum voce,
Simon, claros liberos habentis Ioannis ex genere,
Solum coniunctis diligis me magis sociis?
Et soluens Regi secundò mentum [.i. os]
Humani gregis piscator respondit Simon,
Etiam Rex: tu verò testis meæ mentis, scis & ipse
Quantũ ego dulcem amorẽ immensum erga te portẽ.
Et prudenti reciprocus Rex dixit Petro,
Nostrarum pasce intelligentes greges ouium.
Iesus autem dixit rursus motam consuetam vocem,
Patris Ioannis pii fili Simon,
Certò amas me multo plus quàm alii? [sus,
Et audax molestabatur Petrus quòd tertiò dixisset Ie
Magis meis sociis me animo beneuolo diligis?
Iesu autem respondit subtristi Petrus voce,
Omnia tu nosti quæ cogito, princeps mundi,
Et intelligis amoris mei immotum repagulum,
Quale habẽs diligã te. Deus autẽ respõdit sermone,
Cœlesti pasce baculo pastorali oues & agnos.
Adolescens adhuc Petre tua cingebaris fascia,
Et pedis vestigium flectebas quò volebas ire:

Ὀψὲ δὲ γηράσκων, τανύσεις σέο χεῖρας ἀνάγκῃ·
Καί σε περισφίγξουσιν ἀφειδέες ἀνέρες ἄλλοι,
Εἴς τινα χῶρον ἄγοντες ὃν οὐ σέο θυμὸς ἀνώγει.
Εἶπε προθεσπίζων θανάτου τέλος ἴδμονι φωνῇ
Οἵῳ Πέτρος ἔμελλε θανὼν βασιλῆα γεραίρειν.
Καὶ σοφίης πλήθοντι θεὸς πάλιν ἔννεπε Πέτρῳ,
Ἄρνας ἐμοὺς ποίμαινε σαόφρονας ἄνθεσι βίβλων.
Καί οἱ Χριστὸς ἔλεξεν, Ἐφέσπεο. Καὶ τότε βαίνων,
Ἔνθα παλιζομένης ἐπιταίνετο κύκλον ὀπωπῆς
Σίμων αἰολόμητις. ὀπιδεύοντά τε ταρσῷ
Κοίρανος ὃν φιλέεσκεν ὀπίστερον οἶδε μαθητὴν,
Ὃς καὶ δαινυμένοιο θεηγενέος βασιλῆος
Λοξὸς ἐπὶ στέρνοιο πεσὼν, φιλοπευθέϊ μύθῳ
Ἰησοῦν ἐρέεινε δαήμονα, Τίς πέλεν ἀνὴρ
Ὅς σε θεοστυγέεσσιν Ἰουδαίοις παραδώσει;
Τοῦτον ἰδὼν τότε Πέτρος, ἀνείρετο, Καὶ τί τελέσσει
Οὗτος ἐμὸς συνάεθλος; Ἄναξ δ' ἠνίπαπε μύθῳ,
Εἴ μιν ἕως ἔλθοιμι λιλαίομαι ἐνθάδε μίμνειν,
Πρός σε τί τοῦτο πέλει; σύ μοι ἕσπεο. Καὶ λόγος οὗτος
Γνωτῶν ἐξ ἑτάρων κρυφίῃ κηρύσσετο φωνῇ
Αὐχήεις, ὅτι κεῖνος ἀνικήτοιο μαθητὴς
Οὐ ξυνοῦ θανάτου τέλος ὄψεται. οὐ μὲν Ἰησοῦς
Ἔννεπεν, Οὐ βιότου νοσφίσσεται, ἀλλ' ὅτι μοῦνον,
Εἴ μιν δεῦρο μένειν ἔτι βούλομαι εἰσόκεν ἔλθω,
Πρός σε τί τοῦτο πέλει; τί πεύθεαι; οὗτος ὀπωπῇ
Ἀθρήσας ὁμόφοιτος ἀλήμονος ἐκτὸς ἀκουῆς,
Ἔργων θεσπεσίων ἐπιμάρτυρός ἐστι μαθητής·
Καὶ νοέων τάδε πάντα, κατέγραφε θέσπιδι βίβλῳ.
Ἄλλα δὲ θαύματα πολλὰ σοφῇ σφρηγίσσατο σιγῇ
Μάρτυς ἐτητυμίης, τάπερ ἤνυσεν αὐτὸς Ἰησοῦς,
Ὅσσα καθ' ἓν στοιχηδὸν ἀνὴρ βροτὸς εἴ κε χαράξῃ,
Βίβλους τοσσατίας νεοτευχέας οὐδὲ καὶ αὐτὸν
Ἔλπομαι ἀγλαόμορφον ἀτέρμονα κόσμον ἀείραι.

ΤΕΛΟΣ.



Serò autē ſeneſcens, extendes tuas manus violentia:
Et te circùm conſtringent immites viri alii,
In quendā locum ducentes quē tuus animus nō iubet.
Dixit vaticinans mortis finem ſcienti voce
Qua Petrus futurus erat moriens Regem honorare.
Et ſapientia pleno Deus rurſus dixit Petro,
Agnos meos paſce prudentes floribus librorum.
Et ei Chriſtus dixit, Sequere. Et tunc incedens
Retrouerſorum dirigebat circulum oculorum
Simon varii conſilii: inſequentem autem pede
Dominus quem dilexit poſteriorem vidit diſcipulū,
Qui & cœnante à Deo genito Rege,
Obliquus ſupra pectus cadens, ſciſcitante ſermone
Ieſum interrogauerat ſcientem, Quis eſt vir
Qui te Deo exoſis Iudæis tradet?
Hunc vidēs tunc Petrus, interrogauit. Et quid faciet
Hic meus cōmilito? Rex verò increpauit eū ſermone,
Si ipſum donec veniam deſidero hîc manere,
Ad te quid hoc ſpectat? tu me ſequere. Et ſermo hic
Conſanguineis ex ſociis occulta prædicabatur voce
Glorioſus, quòd ille inſuperabilis diſcipulus
Non cōmunis mortis finem videbit. Non quidē Ieſus
Dixit, Non vita priuabitur, ſed quòd ſolùm,
Si ipſum hîc manere adhuc volo donec veniam,
Ad te quid hoc ſpectat? quid interrogas? hic oculis
Aſpiciens comes errantem extra famam,
Operum diuinorum teſtificans eſt diſcipulus:
Et intelligens hæc omnia, conſcripſit diuino in libro.
Alia autē miracula multa ſapienti obſignauit ſilentio
Teſtis veritatis, quæ perfecit ipſe Ieſus,
Quæ particulatim ordine vir mortalis ſi cōſcriberet,
Libros tot recèns factos neque ipſe,
Opinor, ſplendidæ formæ rotundus mundus caperet.

FINIS.